ἐπὶ δικαστήριον ἐλθεῖν, ἐξωμόσαντο, οἱ δὲ καὶ βασάνοις
to (the)-tribunal to-come abjured others and even tortures
ἐπὶ ποσὸν ἐγκαρτερήσαντες πρὸς τὸ ἑξῆς ἀπεῖπον.
to (a)-certain(-point) having-endured for the next gave-up
41.14 οἱ δὲ στερροὶ καὶ μακάριοι στῦλοι τοῦ κυρίου, κραταιωθέντες
the and firm and blessed pillars of-the Lord strengthened
ὑπ᾽ αὐτοῦ, καὶ τῆς ἰσχυρᾶς ἐν ἑαυτοῖς πίστεως ἀξίαν
by him and of-the strong in themselves faith worthy
καὶ ἀνάλογον δύναμιν καὶ καρτερίαν λαβόντες, θαυμαστοὶ
and proportionate power and endurance having-received wonderful
γεγόνασιν αὐτοῦ τῆς βασιλείας μάρτυρες.
have-become his of-the kingdom witnesses
41.15 ὧν πρῶτος Ἰουλιανὸς, ἄνθρωπος ποδαγρὸς, μὴ στῆναι,
of-whom first Julian (a)-man gouty not to-stand
μὴ βαδίσαι δυνάμενος, σὺν ἑτέροις δύο τοῖς φέρουσιν
not to-walk being-able with others two the(-ones) carrying
αὐτὸν προσήχθη, ὧν ὁ μὲν ἕτερος εὐθὺς ἠρνήσατο,
him was-brought of-whom the(-one) indeed other straightway denied
ὁ δ᾽ ἕτερος, Κρονίων ὀνόματι, ἐπίκλην δὲ Εὔνους, καὶ
the and other Cronion by-name by-surname and Eunus and
αὐτὸς ὁ πρεσβύτης Ἰουλιανὸς, ὁμολογήσαντες τὸν κύριον,
himself the old-man Julian having-confessed the Lord
διὰ πάσης τῆς πόλεως μεγίστης οὔσης, ὡς ἴστε, καμήλοις
through all the city very-great being as you-know on-camels
ἐποχούμενοι καὶ μετέωροι μαστιγούμενοι, τέλος ἀσβέστῳ
riding and aloft being-scourged finally with-unquenchable
πυρὶ, περικεχυμένου τοῦ δήμου παντὸς, κατεκάησαν.
fire poured-around the populace all were-burned-up

στρατιώτης τε αὐτοῖς ἀπαγομένοις παραστὰς καὶ 41.16
(a)-soldier and beside-them being-led-away standing-by and
τοῖς ἐφυβρίζουσιν ἐναντιωθεὶς, ἐκβοησάντων ἐκείνων
the(-ones) insulting having-opposed having-shouted-out those
προσαχθεὶς ὁ ἀνδρειότατος ὁπλομάχος τοῦ θεοῦ Βησᾶς,
having-been-brought the most-brave warrior — of-God Besas
καὶν τῷ μεγάλῳ πολέμῳ τῷ περὶ τῆς εὐσεβείας
and-in the great war the(-war) for the piety
ἀριστεύσας, ἀπετμήθη τὴν κεφαλήν.
having-excelled was-cut-off the head
καί τις ἕτερος, τὸ μὲν γένος Λίβυς, τὴν δὲ προσηγορίαν 41.17
and some another the indeed race (a)-Libyan the and name
ἅμα καὶ τὴν εὐλογίαν ἀληθὴς Μάκαρ, προτροπῆς αὐτῷ
together and the blessing true Macar exhortation to-him
πολλῆς ὑπὸ τοῦ δικαστοῦ πρὸς ἄρνησιν γενομένης, οὐχ
much by the judge to denial having-been not
ὑπαχθεὶς ζῶν καταπέφλεκται. Ἐπίμαχός τε μετ᾽ αὐτοὺς καὶ
induced alive has-been-burned-up Epimachus both after them and
Ἀλέξανδρος μετὰ πολὺν ὃν ἔμειναν δεσμῶται χρόνον,
Alexander after long which they-remained prisoners time
μυρίας διενεγκόντες ἀλγηδόνας, ξυστῆρας, μάστιγας, πυρὶ
countless having-borne pains scrapers scourges with-fire
ἀσβέστῳ καὶ οὗτοι διεχύθησαν.
unquenchable also these were-dissolved
καὶ σὺν αὐτοῖς γυναῖκες τέσσαρες· Ἀμμωνάριόν τε 41.18
and with them women four Ammonarium and
ἁγία παρθένος, πάνυ φιλονείκως αὐτὴν ἐπὶ πλεῖστον
holy virgin very contentiously her for very-long
τοῦ δικαστοῦ βασανίσαντος, ἅτε προαποφηναμένην
the judge having-tortured inasmuch-as having-declared-beforehand
ὅτι μηδὲν ὧν ἐκεῖνος κελεύοι φθέγξαιτο, ἀληθεύσασα
that nothing of-what that(-man) might-order she-would-utter having-made-true

τὴν ἐπαγγελίαν ἀπήχθη· αἱ δὲ λοιπαὶ, ἡ σεμνοτάτη
the promise was-led-away the and rest the most-venerable
πρεσβῦτις Μερκουρία, καὶ ἡ πολύπαις μὲν, οὐχ
old-woman Mercuria and the(-woman) of-many-children indeed not
ὑπὲρ τὸν κύριον δὲ ἀγαπήσασα ἑαυτῆς τὰ τέκνα Διονυσία,
beyond the Lord but having-loved her-own the children Dionysia
καταιδεσθέντος εἰς ἀνήνυτον ἔτι βασανίζειν καὶ ὑπὸ
having-been-ashamed into futility still to-torture and by
γυναικῶν ἡττᾶσθαι τοῦ ἡγεμόνος, σιδήρῳ τεθνᾶσι, μηκέτι
women to-be-defeated the governor by-iron have-died no-longer
βασάνων πεῖραν λαβοῦσαι· τὰς γὰρ ὑπὲρ πασῶν ἡ
of-tortures (a)-test having-received the for on-behalf-of all the
πρόμαχος Ἀμμωνάριον ἀναδέδεκτο βασάνους.
champion Ammonarium had-taken-up tortures

41.19 Ἥρων δὲ καὶ Ἀτὴρ καὶ Ἰσίδωρος Αἰγύπτιοι καὶ σὺν
Hero and and Ater and Isidore Egyptians and with
αὐτοῖς παιδάριον ὡς πεντεκαιδεκαέτης ὁ Διόσκορος
them (a)-boy about fifteen-years-old — Dioscorus
παρεδόθησαν· καὶ πρῶτον τὸ μειράκιον λόγοις τε ἀπατᾶν
were-handed-over and first the youth with-words both to-deceive
ὡς εὐπαράγωγον, καὶ βασάνοις καταναγκάζειν ὡς εὐένδοτον
as easily-led and with-tortures to-compel as easily-yielding
πειρωμένου, οὔτε ἐπείσθη οὔτε εἶξεν ὁ Διόσκορος.
trying neither was-persuaded nor yielded — Dioscorus

41.20 τοὺς δὲ λοιποὺς ἀγριώτατα καταξήνας, ἐγκαρτερήσαντας
the and rest most-savagely having-lacerated having-endured
πυρὶ καὶ τούτους παραδέδωκε, τὸν δὲ Διόσκορον
to-fire also these he-has-handed-over — and Dioscorus
ἐλλαμπρυνάμενόν τε δημοσίᾳ, καὶ σοφώτατα πρὸς
having-shone both publicly and most-wisely to
τὰς ἰδίας πεύσεις ἀποκρινάμενον θαυμάσας παρῆκεν,
the own inquiries having-answered having-wondered-at he-let-go

ὑπέρθεσιν φήσας εἰς μετάνοιαν αὐτῷ διὰ τὴν ἡλικίαν
postponement saying for repentance to-him because-of the age
ἐπιμετρεῖν. καὶ νῦν ὁ θεοπρεπέστατος σὺν ἡμῖν ἐστι
to-allow and now the most-godly with us is
Διόσκορος, εἰς μακρότερον τὸν ἀγῶνα καὶ διαρκέστερον
Dioscorus for longer the contest and more-lasting
μείνας τὸν ἆθλον.
having-remained the prize

Νεμεσίων δέ τις, κἀκεῖνος Αἰγύπτιος, ἐσυκοφαντήθη 41.21
Nemesion and some also-that(-man) (an)-Egyptian was-falsely-accused
μὲν ὡς δὴ σύνοικος λῃστῶν, ἀπολυσάμενος δὲ ταύτην
indeed as indeed fellow-dweller of-robbers having-cleared-himself but this
παρὰ τῷ ἑκατοντάρχῳ τὴν ἀλλοτριωτάτην κατ᾽ αὐτοῦ
before the centurion the most-foreign against him
διαβολὴν, καταμηνυθεὶς ὡς Χριστιανὸς ἦκε δεσμώτης
slander having-been-informed-against as (a)-Christian came (a)-prisoner
ἐπὶ τὸν ἡγούμενον. ὁ δὲ ἀδικώτατος διπλαῖς αὐτὸν
to the governor he and most-unjust double him
ἢ τοὺς λῃστὰς ταῖς τε βασάνοις καὶ ταῖς μάστιξι
than the robbers with-the both tortures and the scourges
λυμηνάμενος, μεταξὺ τῶν λῃστῶν κατέφλεξε, τιμηθέντα
having-maltreated between the robbers burned(-him) having-been-honored
τὸν μακάριον τῷ τοῦ Χριστοῦ παραδείγματι.
the blessed(-man) with-the — of-Christ example

ἀθρόον δέ τι σύνταγμα στρατιωτικὸν, Ἄμμων καὶ 41.22
in-a-body and some company military Ammon and
Ζήνων καὶ Πτολεμαῖος καὶ Ἰγγένης, καὶ σὺν αὐτοῖς
Zeno and Ptolemy and Ingenes and with them
πρεσβύτης Θεόφιλος, εἱστήκεισαν πρὸ τοῦ δικαστηρίου·
old-man Theophilus were-standing before the tribunal
κρινομένου δή τινος ὡς Χριστιανοῦ καὶ πρὸς ἄρνησιν
being-tried indeed someone as (a)-Christian and to denial

ἤδη ῥέποντος ἐπρίοντο οὗτοι παρεστηκότες, καὶ
already inclining were-grinding-their-teeth these standing-by and
τοῖς τε προσώποις ἐνένευον, καὶ τὰς χεῖρας ἀνέτεινον,
with-the both faces nodded and the hands raised
καὶ συνεσχηματίζοντο τοῖς σώμασιν.
and made-gestures with-the bodies

41.23 ἐπιστροφῆς δὲ πάντων πρὸς αὐτοὺς γενομένης, πρίν
turning and of-all toward them having-happened before
τινας αὐτῶν ἄλλους λαβέσθαι, φθάσαντες ἐπὶ τὸ βάθρον
some them others to-lay-hold-of having-anticipated to the bench
ἀνέδραμον, εἶναι Χριστιανοὶ λέγοντες, ὡς τόν τε
ran-up to-be Christians saying so-that the both
ἡγεμόνα καὶ τοὺς συνέδρους ἐμφόβους γενέσθαι, καὶ
governor and the assessors afraid to-become and
τοὺς μὲν κρινομένους εὐθαρσεστάτους ἐφ' οἷς πείσονται
the(-ones) indeed being-tried most-courageous at what they-will-suffer
φαίνεσθαι, τοὺς δὲ δικάζοντας ἀποδειλιᾶν. καὶ οὗτοι
to-appear the(-ones) and judging to-be-cowardly and these
μὲν ἐκ δικαστηρίων ἐνεπόμπευσαν καὶ ἠγαλλιάσαντο
indeed from (the)-tribunals marched-in-procession and exulted
τῇ μαρτυρίᾳ, θριαμβεύοντος αὐτοὺς ἐνδόξως τοῦ θεοῦ."
in-the testimony triumphing-over them gloriously — God

42.1 "Ἄλλοι δὲ πλεῖστοι κατὰ πόλεις καὶ κώμας ὑπὸ
others and very-many in cities and villages by
τῶν ἐθνῶν διεσπάσθησαν, ὧν ἑνὸς παραδείγματος
the gentiles were-torn-asunder of-whom one example
ἕνεκεν ἐπιμνησθήσομαι. Ἰσχυρίων ἐπετρόπευέ τινι τῶν
for-the-sake I-shall-mention Ischyrion was-steward to-one of-the
ἀρχόντων ἐπὶ μισθῷ. τοῦτον ὁ μισθοδότης ἐκέλευσε
rulers for wage this-one the wage-giver ordered
θῦσαι, μὴ πειθόμενον ὕβριζεν, ἐμμένοντα προεπηλάκιζεν·
to-sacrifice not obeying he-insulted(-him) persisting he-abused(-him)

ὑφισταμένου, βακτηρίαν μεγίστην λαβὼν, διὰ τῶν
holding-out (a)-staff very-great having-taken through the
ἐντέρων καὶ τῶν σπλάγχνων διώσας ἀπέκτεινε.
bowels and the entrails having-thrust he-killed(-him)
τί δεῖ λέγειν τὸ πλῆθος τῶν ἐν ἐρημίαις καὶ ὄρεσι 42.2
what must to-say the multitude of-the(-ones) in deserts and mountains
πλανηθέντων, ὑπὸ λιμοῦ καὶ δίψης καὶ κρύους καὶ νόσων
having-wandered by hunger and thirst and cold and diseases
καὶ λῃστῶν καὶ θηρίων διεφθαρμένων; ὧν οἱ
and robbers and wild-beasts destroyed of-whom the(-ones)
περιγενόμενοι τῆς ἐκείνων εἰσὶν ἐκλογῆς καὶ νίκης μάρτυρες.
surviving of-the their are election and victory witnesses
ἓν δὲ καὶ τούτων εἰς δήλωσιν ἔργον παραθήσομαι.
one and also of-these for showing deed I-shall-set-beside
Χαιρήμων ἦν ὑπεργήρως τῆς Νείλου καλουμένης ἐπίσκοπος 42.3
Chaeremon was very-old of-the of-Nilus called bishop
πόλεως. οὗτος εἰς τὸ Ἀράβιον ὄρος ἅμα τῇ συμβίῳ
city this(-man) to the Arabian mountain together-with the wife
ἑαυτοῦ φυγὼν οὐκ ἐπανελήλυθεν, οὐδὲ ἐδυνήθησαν ἰδεῖν
his having-fled not has-returned nor were-able to-see
οὐκέτι καίτοι πολλὰ διερευνησάμενοι οἱ ἀδελφοὶ οὔτε
no-longer although much having-searched the brothers neither
αὐτοὺς οὔτε τὰ σώματα.
them nor the bodies
πολλοὶ δὲ οἱ κατ᾽ αὐτὸ τὸ Ἀραβικὸν ὄρος 42.4
many and the(-ones) in very the Arabian mountain
ἐξανδραποδισθέντες ὑπὸ βαρβάρων Σαρακηνῶν, οἱ μὲν
enslaved by barbarian Saracens some indeed
μόλις ἐπὶ πολλοῖς χρήμασιν ἐλυτρώθησαν, οἱ δὲ μέχρι καὶ
scarcely for much money were-ransomed others and until even
νῦν οὐδέπω. καὶ ταῦτα διεξῆλθον οὐ μάτην, ἀδελφὲ, ἀλλ᾽
now not-yet and these-things I-went-through not in-vain brother but

ἵνα εἰδῇς ὅσα καὶ ἡλίκα δεινὰ παρ᾽ ἡμῖν συνέβη·
that you-may-know how-many and how-great terrible(-things) among us happened
ὧν οἱ μᾶλλον πεπειραμένοι πλείονα ἂν εἰδεῖεν.᾽᾽
of-which the(-ones) more having-experienced more — would-know
42.5 εἶτα τούτοις ἐπιφέρει μετὰ βραχέα λέγων ‘‘αὐτοὶ
then to-these he-adds after brief(-words) saying themselves
τοίνυν οἱ θεῖοι μάρτυρες παρ᾽ ἡμῖν, οἱ νῦν τοῦ
therefore the divine martyrs among us the(-ones) now —
Χριστοῦ πάρεδροι καὶ τῆς βασιλείας αὐτοῦ κοινωνοὶ
of-Christ assessors and of-the kingdom his partners
καὶ μέτοχοι τῆς κρίσεως αὐτοῦ καὶ συνδικάζοντες αὐτῷ,
and sharers of-the judgment his and judging-with him
τῶν παραπεπτωκότων ἀδελφῶν τινὰς ὑπευθύνους τοῖς
of-the having-fallen-away brothers some liable to-the
τῶν θυσιῶν ἐγκλήμασι γενομένους προσελάβοντο, καὶ
of-the sacrifices charges having-become took-to(-themselves) and
τὴν ἐπιστροφὴν καὶ μετάνοιαν αὐτῶν ἰδόντες, δεκτήν τε
the conversion and repentance their having-seen acceptable and
γενέσθαι δυναμένην τῷ μὴ βουλομένῳ καθόλου τὸν
to-become able to-the(-one) not wishing at-all the
θάνατον τοῦ ἁμαρτωλοῦ ὡς τὴν μετάνοιαν δοκιμάσαντες,
death of-the sinner as the repentance having-approved
εἰσεδέξαντο καὶ συνήγαγον καὶ συνέστησαν, καὶ προσευχῶν
they-received and gathered and established and of-prayers
αὐτοῖς καὶ ἑστιάσεων ἐκοινώνησαν.
with-them and of-meals they-shared
42.6 τί οὖν ἡμῖν, ἀδελφοί, περὶ τούτων συμβουλεύετε; τί ἡμῖν
what then to-us brothers about these(-men) do-you-advise what by-us
πρακτέον; σύμψηφοι καὶ ὁμογνώμονες αὐτοῖς καταστῶμεν,
must-be-done of-one-vote and of-one-mind with-them shall-we-stand
καὶ τὴν κρίσιν αὐτῶν καὶ τὴν χάριν φυλάξωμεν, καὶ τοῖς
and the judgment their and the grace shall-we-keep and to-the(-ones)

ἐλεηθεῖσιν ὑπ᾽ αὐτῶν χρηστευσώμεθα, ἢ τὴν κρίσιν αὐτῶν
pitied by them shall-we-be-kind or the judgment their
ἄδικον ποιησώμεθα, καὶ δοκιμαστὰς αὐτοὺς τῆς ἐκείνων
unjust shall-we-make and examiners ourselves of-the their
γνώμης ἐπιστήσωμεν, καὶ τὴν χρηστότητα λυπήσωμεν,
opinion shall-we-set and the kindness shall-we-grieve
καὶ τὴν τάξιν ἀνασκευάσωμεν;" ταῦτα δὲ εἰκότως ὁ
and the order shall-we-overturn these-things and fittingly —
Διονύσιος παρατέθειται, τὸν περὶ τῶν ἐξησθενηκότων
Dionysius has-set-beside the about the(-ones) having-become-weak
κατὰ τὸν τοῦ διωγμοῦ καιρὸν ἀνακινῶν λόγον.
during the of-the persecution time stirring-up word

X · NOVATUS AND THE ROMAN CHURCH

Novatus, a presbyter at Rome, broke away in pride and denied hope to the lapsed; a synod of sixty bishops condemned him. Cornelius writes to Fabius of Novatus' character: his baptism by affusion on a sickbed, his ordination wrung from three rustic bishops, and the oath he forced at communion. He lists the Roman clergy and widows. Dionysius tells of the old man Serapion, given the eucharist by a boy, and writes to Novatus, to the Egyptians, and to others on repentance.

Ἐπειδήπερ τῇ κατὰ τούτων ἀρθεὶς ὑπερηφανίᾳ 43.1
since by-the against these(-men) having-been-lifted arrogance
Νοουάτος, τῆς Ῥωμαίων ἐκκλησίας πρεσβύτερος, ὡς μηκέτ᾽
Novatus of-the of-Romans church presbyter as no-longer
οὔσης αὐτοῖς σωτηρίας ἐλπίδος, μηδ᾽ εἰ πάντα τὰ εἰς
being for-them of-salvation hope not-even if all the(-things) for
ἐπιστροφὴν γνησίαν καὶ καθαρὰν ἐξομολόγησιν ἐπιτελοῖεν,
conversion genuine and pure confession they-should-perform

ἰδίας αἱρέσεως τῶν κατὰ λογισμοῦ φυσίωσιν Καθαροὺς
of-own heresy of-the(-men) in of-reasoning conceit Pure
ἑαυτοὺς ἀποφηνάντων ἀρχηγὸς καθίσταται.
themselves having-declared leader is-appointed

43.2 ἐφ' ᾧ συνόδου μεγίστης ἐπὶ Ῥώμης συγκροτηθείσης,
upon which (a)-synod very-great at Rome having-been-assembled
ἑξήκοντα μὲν τὸν ἀριθμὸν ἐπισκόπων, πλειόνων δ'
sixty indeed the number of-bishops more but
ἔτι μᾶλλον πρεσβυτέρων τε καὶ διακόνων, ἰδίως τε
still more presbyters both and deacons separately and
κατὰ τὰς λοιπὰς ἐπαρχίας τῶν κατὰ χώραν ποιμένων
throughout the remaining provinces of-the in (the)-country shepherds
περὶ τοῦ πρακτέου διασκεψαμένων, δόγμα παρίσταται
about the(-thing) to-be-done having-deliberated (a)-decree is-set-forth
τοῖς πᾶσι τὸν μὲν Νοουάτον ἅμα τοῖς αὐτῷ
to-the all — indeed Novatus together-with the(-ones) with-him
συνεπαρθεῖσι τούς τε συνευδοκεῖν τῇ μισαδέλφῳ καὶ
having-been-lifted-up the(-ones) and to-consent to-the brother-hating and
ἀπανθρωποτάτῃ γνώμῃ τἀνδρὸς προαιρουμένους ἐν
most-inhuman opinion of-the-man choosing among
ἀλλοτρίοις τῆς ἐκκλησίας ἡγεῖσθαι, τοὺς δὲ τῇ
strangers of-the church to-consider the(-ones) but into-the
συμφορᾷ περιπεπτωκότας τῶν ἀδελφῶν ἰᾶσθαι καὶ
calamity having-fallen of-the brothers to-heal and
θεραπεύειν τοῖς τῆς μετανοίας φαρμάκοις.
to-treat with-the of-the repentance medicines

43.3 ἦλθον δ' οὖν εἰς ἡμᾶς ἐπιστολαὶ Κορνηλίου Ῥωμαίων
came and then to us letters of-Cornelius of-Romans
ἐπισκόπου πρὸς τὸν τῆς Ἀντιοχέων ἐκκλησίας Φάβιον,
bishop to — of-the of-Antiochenes church Fabius
δηλοῦσαι τὰ περὶ τῆς Ῥωμαίων συνόδου καὶ τὰ
showing the(-things) about the of-Romans synod and the(-things)

δόξαντα πᾶσι τοῖς κατὰ τὴν Ἰταλίαν καὶ Ἀφρικὴν
having-seemed(-good) to-all the(-ones) in — Italy and Africa
καὶ τὰς αὐτόθι χώρας· καὶ ἄλλαι πάλιν Ῥωμαϊκῇ φωνῇ
and the there regions and others again in-Roman language
συντεταγμέναι Κυπριανοῦ καὶ τῶν ἅμ᾽ αὐτῷ κατὰ
composed of-Cyprian and of-the(-ones) together-with him in
τὴν Ἀφρικὴν, δι᾽ ὧν τὸ καὶ αὐτοὺς συνευδοκεῖν
— Africa through which the(-fact) also themselves to-consent
τῷ δεῖν τυγχάνειν ἐπικουρίας τοὺς πεπειρασμένους
to-the to-be-needful to-obtain help the(-ones) having-been-tried
ἐφαίνετο, καὶ τῷ χρῆναι εὐλόγως τῆς καθολικῆς
appeared and to-the to-be-necessary reasonably of-the catholic
ἐκκλησίας ἐκκήρυκτον ποιήσασθαι τὸν τῆς αἱρέσεως
church excommunicated to-make the of-the heresy
ἀρχηγὸν, πάντας τε ὁμοίως τοὺς συναπαγομένους αὐτῷ.
leader all and likewise the(-ones) carried-away-with him
ταύταις ἄλλη τις ἐπιστολὴ συνῆπτο τοῦ Κορνηλίου περὶ 43.4
to-these another some letter was-joined — of-Cornelius about
τῶν κατὰ τὴν σύνοδον ἀρεσάντων, καὶ πάλιν ἑτέρα
the(-things) at the synod having-pleased and again another
περὶ τῶν κατὰ Νοουάτον πραχθέντων, ἀφ᾽ ἧς καὶ
about the(-things) concerning Novatus done from which also
μέρη παραθέσθαι οὐδὲν ἂν κωλύοι, ὅπως εἰδεῖεν τὰ
parts to-set-beside nothing — would-hinder so-that might-know the(-things)
κατ᾽ αὐτὸν οἱ τῇδε ἐντυγχάνοντες τῇ γραφῇ.
about him the(-ones) here reading the writing
τὸν δὴ οὖν Φάβιον ἀναδιδάσκων ὁποῖός τις ὁ Νοουάτος 43.5
— indeed then Fabius instructing of-what-sort some — Novatus
ἐγεγόνει τὸν τρόπον αὐτὰ δὴ ταῦτα γράφει ὁ Κορνήλιος
had-become the character very indeed these-things writes — Cornelius
“ἵνα δὲ γνῷς ὅτι πρόπαλαι ὀρεγόμενος τῆς ἐπισκοπῆς
that and you-may-know that long-ago reaching-after the episcopate

ὁ θαυμάσιος οὗτος καὶ κρύπτων ἐν ἑαυτῷ τὴν προπετῆ
the wonderful this(-man) and hiding in himself the rash
ταύτην αὐτοῦ ἐπιθυμίαν ἐλάνθανεν, ἐπικαλύμματι τῆς
this his desire escaped-notice as-(a)-cover of-the
αὐτοῦ ἀπονοίας τῷ κατ᾽ ἀρχὰς σὺν αὐτῷ τοὺς
his madness to-the at (the)-beginning with him the
ὁμολογητὰς ἐσχηκέναι χρώμενος, εἰπεῖν βούλομαι.
confessors to-have-had using to-say I-wish

43.6 Μάξιμος, πρεσβύτερος τῶν παρ᾽ ἡμῖν, καὶ Οὐρβανὸς, δὶς
Maximus presbyter of-the(-ones) among us and Urban twice
τὴν ἐξ ὁμολογίας δόξαν ἀρίστην καρπωσάμενοι, Σιδώνιός
the from confession glory best having-reaped Sidonius
τε καὶ Κελερῖνος, ἀνὴρ ὃς πάσας βασάνους διὰ τὸν
both and Celerinus (a)-man who all tortures because-of the
τοῦ θεοῦ ἔλεον καρτερικώτατα διενέγκας, καὶ τῇ ῥώμῃ
— of-God mercy most-steadfastly having-borne and with-the strength
τῆς αὐτοῦ πίστεως τὸ ἀσθενὲς τῆς σαρκὸς ἐπιρρώσας,
of-the his faith the weakness of-the flesh having-strengthened
κατὰ κράτος νενίκηκε τὸν ἀντικείμενον — οὗτοι δὴ
by force has-conquered the adversary these indeed
οὖν οἱ ἄνδρες κατανοήσαντες αὐτὸν, καὶ καταφωράσαντες
then the men having-observed him and having-detected
τὴν ἐν αὐτῷ πανουργίαν τε καὶ παλιμβολίαν, τάς τε
the in him knavery both and double-dealing the and
ἐπιορκίας καὶ ψευδολογίας, καὶ τὴν ἀκοινωνησίαν αὐτοῦ καὶ
perjuries and falsehoods and the unsociability his and
λυκοφιλίαν, ἐπανῆλθον εἰς τὴν ἁγίαν ἐκκλησίαν, καὶ ἅπαντα
wolf-friendship returned to the holy church and all
αὐτοῦ τὰ τεχνάσματα καὶ πονηρεύματα, ἃ ἐκ πολλοῦ
his the artifices and wickednesses which from long
ἔχων ἐν ἑαυτῷ ὑπεστέλλετο, παρόντων ἱκανῶν τοῦτο
having in himself he-was-concealing being-present sufficient(-numbers) this

μὲν ἐπισκόπων, τοῦτο δὲ πρεσβυτέρων καὶ λαϊκῶν ἀνδρῶν
indeed of-bishops this and of-presbyters and lay men
παμπόλλων, ἐξήγγειλαν ἀποδυρόμενοι καὶ μεταγινώσκοντες
very-many they-announced lamenting and repenting
ἐφ᾽ οἷς πεισθέντες τῷ δολερῷ καὶ κακοήθει θηρίῳ
for what having-been-persuaded by-the deceitful and malicious beast
πρὸς ὀλίγον χρόνον τῆς ἐκκλησίας ἀπελείφθησαν.”
for (a)-little time from-the church they-were-separated
εἶτα μετὰ βραχέα φησίν “ἀμήχανον ὅσην, ἀγαπητὲ 43.7
then after brief(-words) he-says impossible how-great beloved
ἀδελφὲ, τροπὴν καὶ μεταβολὴν ἐν βραχεῖ καιρῷ ἐθεασάμεθα
brother turning and change in brief time we-beheld
ἐπ᾽ αὐτοῦ γεγενημένην. ὁ γάρ τοι λαμπρότατος καὶ
in him having-happened the for surely most-illustrious(-man) and
δι᾽ ὅρκων φοβερῶν τινῶν πιστούμενος τὸ μηδ᾽ ὅλως
through oaths fearful some assuring the not-even at-all
ἐπισκοπῆς ὀρέγεσθαι, αἰφνίδιον ἐπίσκοπος ὥσπερ ἐκ
of-episcopate to-reach-after suddenly bishop as-if from
μαγγάνου τινὸς εἰς τὸ μέσον ῥιφεὶς ἀναφαίνεται.
machine some into the middle thrown appears
οὗτος γάρ τοι ὁ δογματιστὴς, ὁ τῆς ἐκκλησιαστικῆς 43.8
this-one for surely the dogmatist the(-one) of-the ecclesiastical
ἐπιστήμης ὑπερασπιστὴς, ὁπηνίκα παρασπᾶσθαί τε καὶ
knowledge champion when to-wrest-away both and
ὑφαρπάζειν τὴν μὴ δοθεῖσαν αὐτῷ ἄνωθεν ἐπισκοπὴν
to-snatch the not given to-him from-above episcopate
ἐπεχείρει, δύο ἑαυτῷ κοινωνοὺς ἀπεγνωκότας τῆς ἑαυτῶν
attempted two for-himself partners having-despaired of-the their-own
σωτηρίας ἐπελέξατο, ὡς ἂν εἰς βραχύ τι μέρος καὶ
salvation chose that — to small some part and
ἐλάχιστον τῆς Ἰταλίας ἀποστείλῃ, κἀκεῖθεν ἐπισκόπους
least — of-Italy he-might-send and-from-there bishops

τρεῖς, ἀνθρώπους ἀγροίκους καὶ ἁπλουστάτους, πλαστῇ τινι
three men rustic and most-simple by-fabricated some
ἐπιχειρήσει ἐξαπατήσῃ, διαβεβαιούμενος καὶ διισχυριζόμενος
attempt he-might-deceive affirming and insisting
δεῖν αὐτοὺς ἐν τάχει παραγενέσθαι εἰς Ῥώμην, ὡς
to-be-needful them in haste to-come to Rome as
δῆθεν πᾶσα ἡτισδηποτοῦν διχοστασία γεγονυῖα σὺν
forsooth all whatsoever dissension having-happened together-with
καὶ ἑτέροις ἐπισκόποις καὶ αὐτῶν μεσιτευόντων διαλυθῇ.
also other bishops also themselves mediating might-be-dissolved
43.9 οὓς παραγενομένους, ἅτε δὴ, ὡς ἔφθημεν λέγοντες,
whom having-arrived inasmuch-as indeed as we-said-before saying
ἀνθρώπους ἁπλουστέρους περὶ τὰς τῶν πονηρῶν μηχανάς
men more-simple about the of-the wicked devices
τε καὶ ῥᾳδιουργίας, συγκλεισθέντας ὑπό τινων ὁμοίων
both and knaveries shut-up by some like
αὐτῷ τεταγμένων ἀνθρώπων, ὥρᾳ δεκάτῃ μεθύοντας καὶ
to-him appointed men at-hour tenth being-drunk and
κραιπαλῶντας μετὰ βίας ἠνάγκασεν εἰκονικῇ τινι καὶ
hung-over with force he-compelled by-image-like some and
ματαίᾳ χειρεπιθεσίᾳ ἐπισκοπὴν αὐτῷ δοῦναι, ἣν ἐνέδρᾳ
vain laying-on-of-hands (the)-episcopate to-him to-give which by-ambush
καὶ πανουργίᾳ, μὴ ἐπιβάλλουσαν αὐτῷ, ἐκδικεῖ.
and knavery not belonging to-him he-claims
43.10 ἐξ ὧν εἷς μετ᾽ οὐ πολὺ ἐπανῆλθεν εἰς τὴν ἐκκλησίαν,
of whom one after not long returned to the church
ἀποδυρόμενος καὶ ἐξομολογούμενος τὸ ἑαυτοῦ ἁμάρτημα,
lamenting and confessing the his-own sin
ᾧ καὶ ἐκοινωνήσαμεν ὡς λαϊκῷ, ὑπὲρ αὐτοῦ
with-whom also we-communicated as with-(a)-layman for him
δεηθέντος παντὸς τοῦ παρόντος λαοῦ. καὶ τῶν λοιπῶν
having-begged all the present people and of-the remaining

δὲ ἐπισκόπων διαδόχους εἰς τοὺς τόπους, ἐν οἷς ἦσαν,
and bishops successors to the places in which they-were
χειροτονήσαντες ἀπεστάλκαμεν.
having-ordained we-have-sent
ὁ ἐκδικητὴς οὖν τοῦ εὐαγγελίου οὐκ ἠπίστατο ἕνα 43.11
the avenger then of-the gospel not knew one
ἐπίσκοπον δεῖν εἶναι ἐν καθολικῇ ἐκκλησίᾳ, ἐν ᾗ οὐκ
bishop to-be-needful to-be in (a)-catholic church in which not
ἠγνόει (πῶς γάρ;) πρεσβυτέρους εἶναι τεσσαράκοντα
was-be-ignorant how for presbyters to-be forty
ἓξ, διακόνους ἑπτὰ, ὑποδιακόνους ἑπτὰ, ἀκολούθους δύο
six deacons seven subdeacons seven acolytes two
καὶ τεσσαράκοντα, ἐξορκιστὰς δὲ καὶ ἀναγνώστας ἅμα
and forty exorcists and and readers together-with
πυλωροῖς δύο καὶ πεντήκοντα, χήρας σὺν θλιβομένοις ὑπὲρ
doorkeepers two and fifty widows with afflicted(-ones) above
τὰς χιλίας πεντακοσίας, οὓς πάντας ἡ τοῦ δεσπότου
the thousand five-hundred whom all the of-the master
χάρις καὶ φιλανθρωπία διατρέφει.
grace and humanity nourishes
ὧν οὐδὲ τοσοῦτο πλῆθος καὶ οὕτως ἀναγκαῖον ἐν τῇ 43.12
whom not-even so-great (a)-multitude and so necessary in the
ἐκκλησίᾳ, διὰ τῆς τοῦ θεοῦ προνοίας πλούσιός τε καὶ
church through the — of-God providence rich both and
πληθύων ἀριθμὸς μετὰ μεγίστου καὶ ἀναριθμήτου λαοῦ,
multiplying number with very-great and countless people
ἀπὸ τῆς τοιαύτης ἀπογνώσεώς τε καὶ ἀπαγορεύσεως
from the such despair both and renunciation
ἐνέτρεψέ τε καὶ ἀνεκαλέσατο εἰς τὴν ἐκκλησίαν."
turned-back both and recalled to the church

43.13 καὶ αὖθις μεθ᾽ ἕτερα τούτοις προστίθησι ταῦτα· "φέρε δὴ
and again after other(-things) to-these he-adds these-things come indeed
ἑξῆς εἴπωμεν τίσιν ἔργοις ἢ τίσι πολιτείαις τεθαρρηκὼς
next let-us-say by-what works or by-what conduct having-taken-courage
ἀντεποιήθη τῆς ἐπισκοπῆς. ἆρά γε διὰ τὸ ἐξ
he-laid-claim-to the episcopate (is-it) at-least because-of the from
ἀρχῆς ἐν τῇ ἐκκλησίᾳ ἀνεστράφθαι, καὶ πολλοὺς ἀγῶνας
(the)-beginning in the church to-have-lived and many contests
ὑπὲρ αὐτῆς ἠγωνίσθαι, καὶ ἐν κινδύνοις πολλοῖς τε καὶ
for it to-have-contended and in dangers many both and
μεγάλοις ἕνεκα τῆς θεοσεβείας γεγονέναι; ἀλλ᾽ οὐκ ἔστιν·
great for-the-sake the godliness to-have-been but not it-is
43.14 ᾧ γε ἀφορμὴ τοῦ πιστεῦσαι γέγονεν ὁ σατανᾶς,
for-whom at-least (the)-occasion of-the to-believe became — Satan
φοιτήσας εἰς αὐτὸν καὶ οἰκήσας ἐν αὐτῷ χρόνον ἱκανόν.
having-frequented into him and having-dwelt in him (a)-time sufficient
ὃς βοηθούμενος ὑπὸ τῶν ἐξορκιστῶν, νόσῳ περιπεσὼν
who being-helped by the exorcists into-disease having-fallen
χαλεπῇ, καὶ ἀποθανεῖσθαι ὅσον οὐδέπω νομιζόμενος, ἐν
grievous and to-be-about-to-die as-much-as not-yet being-thought in
αὐτῇ τῇ κλίνῃ, ᾗ ἔκειτο, περιχυθεὶς ἔλαβεν· εἴ
very the bed on-which he-lay having-been-poured-over he-received if
γε χρὴ λέγειν τὸν τοιοῦτον εἰληφέναι.
at-least it-is-necessary to-say the such(-man) to-have-received
43.15 οὐ μὴν οὐδὲ τῶν λοιπῶν ἔτυχε διαφυγὼν τὴν νόσον, ὧν
not indeed not-even of-the rest he-obtained having-escaped the disease which
χρὴ μεταλαμβάνειν κατὰ τὸν τῆς ἐκκλησίας κανόνα,
it-is-necessary to-partake-of according-to the of-the church canon
τοῦ τε σφραγισθῆναι ὑπὸ τοῦ ἐπισκόπου. τούτων δὲ μὴ
the and to-be-sealed by the bishop these(-things) but not
τυχὼν πῶς ἂν τοῦ ἁγίου πνεύματος ἔτυχε;"
having-obtained how — of-the holy spirit would-he-have-obtained

καὶ πάλιν μετὰ βραχέα φησίν “ὁ διὰ δειλίαν καὶ 43.16
and again after brief(-words) he-says the(-one) through cowardice and
φιλοζωΐαν ἐν τῷ καιρῷ τῆς διώξεως πρεσβύτερον εἶναι
love-of-life in the time of-the persecution (a)-presbyter to-be
ἑαυτὸν ἀρνησάμενος. ἀξιούμενος γὰρ καὶ παρακαλούμενος
himself having-denied being-asked for and being-exhorted
ὑπὸ τῶν διακόνων, ἵν’ ἐξελθὼν τοῦ οἰκίσκου, ἐν
by the deacons that having-gone-out of-the little-room in
ᾧ καθεῖρξεν ἑαυτὸν, βοηθήσῃ τοῖς ἀδελφοῖς ὅσα
which he-had-shut-up himself he-should-help the brothers as-much-as
θέμις καὶ ὅσα δυνατὸν πρεσβυτέρῳ κινδυνεύουσιν
(is)-lawful and as-much-as possible for-(a)-presbyter being-in-danger
ἀδελφοῖς καὶ ἐπικουρίας δεομένοις βοηθεῖν, τοσοῦτον
brothers and of-help needing to-help so-much
ἀπέσχε τοῦ πειθαρχῆσαι παρακαλοῦσι τοῖς διακόνοις ὡς
he-was-far of-the to-obey exhorting the deacons that
καὶ χαλεπαίνοντα ἀπιέναι καὶ ἀπαλλάττεσθαι· μὴ γὰρ
even being-angry to-go-away and to-depart not for
ἔτι βούλεσθαι πρεσβύτερος εἶναι ἔφη· ἑτέρας γὰρ
any-longer to-wish (a)-presbyter to-be he-said of-another for
εἶναι φιλοσοφίας ἐραστής.”
to-be philosophy (a)-lover
ὑπερβὰς δ’ ὀλίγα τούτοις πάλιν ἐπιφέρει λέγων 43.17
having-passed-over and few(-things) to-these again he-adds saying
“καταλιπὼν γὰρ ὁ λαμπρὸς οὗτος τὴν ἐκκλησίαν τοῦ
having-left for the illustrious this(-man) the church —
θεοῦ, ἐν ᾗ πιστεύσας κατηξιώθη τοῦ πρεσβυτερίου
of-God in which having-believed he-was-deemed-worthy of-the presbyterate
κατὰ χάριν τοῦ ἐπισκόπου τοῦ ἐπιθέντος αὐτῷ χεῖρα
by favor of-the bishop the(-one) having-laid on-him (a)-hand
εἰς πρεσβυτερίου κλῆρον, ὃς διακωλυόμενος ὑπὸ παντὸς
for of-presbyterate order who being-hindered by all

τοῦ κλήρου, ἀλλὰ καὶ λαϊκῶν πολλῶν, ἐπεὶ μὴ ἐξὸν ἦν
the clergy but also of-laymen many since not lawful was
τὸν ἐπὶ κλίνης διὰ νόσον περιχυθέντα, ὥσπερ καὶ
the(-one) on (a)-bed because-of disease having-been-poured-over as also
οὗτος, εἰς κληρόν τινα γενέσθαι, ἠξίωσε συγχωρηθῆναι
this(-man) into order any to-come asked to-be-allowed
αὐτῷ τοῦτον μόνον χειροτονῆσαι."
to-him this-one only to-ordain

43.18 εἶτ' ἄλλο τι χείριστον τούτοις προστίθησι τῶν τοῦ
then another something worst to-these he-adds of-the of-the
ἀνδρὸς ἀτοπημάτων, λέγων οὕτως "ποιήσας γὰρ τὰς
man absurdities saying thus having-made for the
προσφορὰς, καὶ διανέμων ἑκάστῳ τὸ μέρος καὶ ἐπιδιδοὺς
offerings and distributing to-each the part and giving
τοῦτο, ὀμνύειν ἀντὶ τοῦ εὐλογεῖν τοὺς ταλαιπώρους
this to-swear instead-of the to-bless the wretched
ἀνθρώπους ἀναγκάζει, κατέχων ἀμφοτέραις ταῖς χερσὶ
men he-compels holding with-both the hands
τὰς τοῦ λαβόντος, καὶ μὴ ἀφεὶς ἔστ' ἂν
the(-hands) of-the(-one) having-received and not having-let-go until —
ὀμνύοντες εἴπωσι ταῦτα (τοῖς γὰρ ἐκείνου χρήσομαι
swearing they-say these-things with-the for that(-man's) I-shall-use
λόγοις)· ὄμοσόν μοι κατὰ τοῦ σώματος καὶ τοῦ αἵματος
words swear to-me by the body and the blood
τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μηδέποτέ με καταλιπεῖν
of-the Lord our Jesus Christ never me to-forsake
καὶ ἐπιστρέψαι πρὸς Κορνήλιον.
and to-turn to Cornelius

43.19 καὶ ὁ ἄθλιος ἄνθρωπος οὐ πρότερον γεύεται, εἰ μὴ
and the wretched man not before tastes if not
πρότερον αὐτῷ καταράσαιτο. καὶ ἀντὶ τοῦ εἰπεῖν
before on-himself he-should-call-down-curses and instead-of the to-say

λαμβάνοντα τὸν ἄρτον ἐκεῖνον τὸ ἀμήν ‘οὐκέτι ἀνήξω
taking the bread that the amen no-longer will-I-return
πρὸς Κορνήλιον’ λέγει.”
to Cornelius says
καὶ μεθ’ ἕτερα πάλιν ταῦτά φησιν “ἤδη δὲ ἴσθι 43.20
and after other(-things) again these-things he-says already and know(-that-he)
γεγυμνῶσθαι καὶ ἔρημον γεγονέναι, καταλιμπανόντων
to-have-been-stripped and deserted to-have-become forsaking
αὐτὸν καθ’ ἡμέραν ἑκάστην τῶν ἀδελφῶν, καὶ εἰς τὴν
him by day each the brothers and to the
ἐκκλησίαν ἐπανερχομένων. ὃν καὶ Μωυσῆς ὁ μακάριος
church returning whom also Moses the blessed
μάρτυς, ὁ παρ’ ἡμῖν ἔναγχος μαρτυρήσας καλήν τινα
martyr the(-one) among us lately having-borne-witness good some
καὶ θαυμαστὴν μαρτυρίαν, ἔτι ὢν ἐν κόσμῳ, κατιδὼν
and wonderful testimony still being in (the)-world having-perceived
αὐτοῦ τὴν θρασύτητα καὶ τὴν ἀπόνοιαν, ἀκοινώνητον
his the boldness and the madness excommunicate
ἐποίησε σὺν τοῖς πέντε πρεσβυτέροις τοῖς ἅμα
made with the five presbyters the(-ones) together-with
αὐτῷ ἀποσχίσασιν ἑαυτοὺς τῆς ἐκκλησίας.”
him having-split-off themselves from-the church
καὶ ἐπὶ τέλει δὲ τῆς ἐπιστολῆς τῶν ἐπὶ Ῥώμης 43.21
and at (the)-end and of-the letter of-the at Rome
παραγενομένων ἐπισκόπων τῆς τε τοῦ Νοουάτου
having-come bishops the and — of-Novatus
κατεγνωκότων ἀβελτερίας κατάλογον πεποίηται, ὁμοῦ τά
having-condemned stupidity (a)-list he-has-made at-once the
τε ὀνόματα καὶ ἧς ὁ καθεῖς αὐτῶν προηγεῖτο παροικίας
both names and which the each of-them presided-over parish
ἐπισημαινόμενος.
noting

43.22 τῶν τε μὴ παραγενομένων μὲν ἐπὶ τῆς Ῥώμης,
of-the(-ones) and not having-come indeed to — Rome
συνευδοκησάντων δὲ διὰ γραμμάτων τῇ τῶν
having-consented but through letters to-the of-the
προειρημένων ψήφῳ, τὰς προσηγορίας ὁμοῦ καὶ τὰς πόλεις
aforesaid vote the names at-once and the cities
ὅθεν ἕκαστος ὁρμώμενος ἐπέστελλε μνημονεύει. ταῦτα μὲν
whence each setting-out wrote he-mentions these-things indeed
ὁ Κορνήλιος Φαβίῳ Ἀντιοχείας ἐπισκόπῳ δηλῶν ἔγραφε.
— Cornelius to-Fabius of-Antioch bishop showing wrote

44.1 Τῷ δ' αὐτῷ τούτῳ Φαβίῳ ὑποκατακλινομένῳ πως
to-the and same this Fabius inclining somehow
τῷ σχίσματι καὶ Διονύσιος ὁ κατ' Ἀλεξάνδρειαν
toward-the schism also Dionysius the(-one) at Alexandria
ἐπιστείλας, πολλά τε καὶ ἄλλα περὶ μετανοίας ἐν
having-written many(-things) both and other about repentance in
τοῖς πρὸς αὐτὸν γράμμασι διελθών, τῶν τε
the to him letters having-gone-through of-the(-ones) and
κατ' Ἀλεξάνδρειαν ἔναγχος τότε μαρτυρησάντων τοὺς
at Alexandria lately then having-been-martyred the
ἀγῶνας διών, μετὰ τῆς ἄλλης ἱστορίας πρᾶγμά τι
contests going-through with the other history deed some
μεστὸν θαύματος διηγεῖται, ὃ καὶ αὐτὸ ἀναγκαῖον τῇδε
full of-wonder relates which also itself (is)-necessary here
παραδοῦναι τῇ γραφῇ, οὕτως ἔχον "ἓν δέ σοι τοῦτο
to-hand-down to-the writing thus being one and to-you this
παράδειγμα παρ' ἡμῖν συμβεβηκὸς ἐκθήσομαι.
example among us having-happened I-shall-set-forth

44.2 Σαραπίων τις ἦν παρ' ἡμῖν πιστὸς γέρων, ἀμέμπτως
Serapion a-certain was among us (a)-believing old-man blamelessly
μὲν τὸν πολὺν διαβιώσας χρόνον, ἐν δὲ τῷ πειρασμῷ
indeed the long having-lived time in but the trial

πεσών. οὗτος πολλάκις ἐδεῖτο, καὶ οὐδεὶς προσεῖχεν
having-fallen this-one often begged and no-one attended
αὐτῷ, καὶ γὰρ ἐτεθύκει· ἐν νόσῳ δὲ γενόμενος τριῶν
to-him and for he-had-sacrificed in sickness and having-been of-three
ἑξῆς ἡμερῶν ἄφωνος καὶ ἀναίσθητος διετέλεσε.
successive days speechless and senseless he-continued
βραχὺ δὲ ἀνασφήλας τῇ τετάρτῃ προσεκαλέσατο τὸν 44.3
(a)-little and having-recovered on-the fourth he-called-to(-him) the
θυγατριδοῦν, καὶ "μέχρι τίνος, φησὶν, ὦ τέκνον, με
grandson and until when he-says O child me
κατέχετε; δέομαι, σπεύσατε, καί με θᾶττον ἀπολύσατε,
do-you-hold I-beg hasten and me more-quickly release
τῶν πρεσβυτέρων μοί τινα κάλεσον." καὶ ταῦτα εἰπὼν
of-the presbyters for-me one call and these-things having-said
πάλιν ἦν ἄφωνος.
again he-was speechless
ἔδραμεν ὁ παῖς ἐπὶ τὸν πρεσβύτερον· νὺξ δὲ ἦν, κἀκεῖνος 44.4
ran the boy to the presbyter night and was and-that-one
ἠσθένει. ἀφικέσθαι μὲν οὖν οὐκ ἐδυνήθη, ἐντολῆς δὲ
was-sick to-come indeed then not he-could (a)-command but
ὑπ' ἐμοῦ δεδομένης, τοὺς ἀπαλλαττομένους τοῦ βίου,
by me having-been-given the(-ones) departing-from the life
εἰ δέοιντο, καὶ μάλιστα εἰ καὶ πρότερον ἱκετεύσαντες
if they-should-ask and most if also before having-supplicated
τύχοιεν, ἀφίεσθαι, ἵν' εὐέλπιδες ἀπαλλάττωνται, βραχὺ
they-should-happen to-be-absolved that in-good-hope they-may-depart (a)-little
τῆς εὐχαριστίας ἔδωκεν τῷ παιδαρίῳ, ἀποβρέξαι κελεύσας
of-the eucharist he-gave to-the boy to-soak having-ordered
καὶ τῷ πρεσβύτῃ κατὰ τοῦ στόματος ἐπιστάξαι.
and for-the old-man into the mouth to-drip

44.5 ἐπανῆκεν ὁ παῖς φέρων· ἐγγύς τε γενομένου, πρὶν
returned the boy carrying(-it) near and having-come before
εἰσελθεῖν, ἀνενέγκας πάλιν ὁ Σαραπίων, ἥκεις, ἔφη,
to-go-in having-revived again — Serapion you-have-come he-said
τέκνον; καὶ ὁ μὲν πρεσβύτερος ἐλθεῖν οὐκ ἠδυνήθη, σὺ δὲ
child and the indeed presbyter to-come not was-able you but
ποίησον ταχέως τὸ προσταχθὲν, καὶ ἀπάλλαττέ με.
do quickly the(-thing) commanded and release me
ἀπέβρεξεν ὁ παῖς καὶ ἅμα τε ἐνέχεε τῷ στόματι καὶ
soaked the boy and at-once both poured-in to-the mouth and
μικρὸν ἐκεῖνος καταβροχθίσας εὐθέως ἀπέδωκε τὸ πνεῦμα.
(a)-little that(-man) having-swallowed straightway gave-up the spirit
44.6 ἆρ' οὐκ ἐναργῶς διετηρήθη καὶ παρέμεινεν, ἕως
(is-it) not plainly was-be-kept and remained until
λυθῇ, καὶ τῆς ἁμαρτίας ἐξαλειφθείσης ἐπὶ πολλοῖς
he-should-be-released and of-the sin having-been-wiped-out for many
οἷς ἔπραξε καλοῖς ὁμολογηθῆναι δυνηθῇ;" ταῦτα ὁ
which he-did good(-deeds) to-be-acknowledged he-might-be-able these-things —
Διονύσιος.
Dionysius

45.1 Ἴδωμεν δὲ ὁ αὐτὸς ὁποῖα καὶ τῷ Νοουάτῳ διεχάραξε,
let-us-see and the same what-sort also — to-Novatus wrote
ταράττοντι τηνικάδε τὴν Ῥωμαίων ἀδελφότητα. ἐπειδὴ
troubling at-that-time the of-Romans brotherhood since
οὖν τῆς ἀποστασίας καὶ τοῦ σχίσματος πρόφασιν ἐποιεῖτο
then of-the apostasy and of-the schism (a)-pretext he-made
τῶν ἀδελφῶν τινας, ὡς δὴ πρὸς αὐτῶν ἐπὶ τοῦτ' ἐλθεῖν
of-the brothers some as indeed by them to this to-come
ἐκβεβιασμένος, ὅρα τίνα τρόπον αὐτῷ γράφει· "Διονύσιος
having-been-forced see what manner to-him he-writes Dionysius
Νοουάτῳ τῷ ἀδελφῷ χαίρειν. εἰ ἄκων, ὡς φῂς, ἤχθης,
to-Novatus the brother to-rejoice if unwillingly as you-say you-were-led

δείξεις, ἐὰν ἀναχωρήσῃς ἑκών. ἔδει μὲν γὰρ καὶ
you-will-show(-it) if you-withdraw willingly it-was-needful indeed for even
πᾶν ὁτιοῦν παθεῖν ὑπὲρ τοῦ μὴ διακόψαι τὴν ἐκκλησίαν
all whatsoever to-suffer for the not to-divide the church
τοῦ θεοῦ, καὶ ἦν οὐκ ἀδοξοτέρα τῆς ἕνεκεν τοῦ
— of-God and was not more-inglorious than-the(-martyrdom) for-the-sake the
μὴ εἰδωλολατρῆσαι γινομένης ἡ ἕνεκεν τοῦ μὴ σχίσαι
not to-commit-idolatry happening the for-the-sake the not to-make-schism
μαρτυρία, κατ᾽ ἐμὲ δὲ καὶ μείζων. ἐκεῖ μὲν γὰρ ὑπὲρ
martyrdom in my(-view) but also greater there indeed for for
μιᾶς τις τῆς ἑαυτοῦ ψυχῆς, ἐνταῦθα δὲ ὑπὲρ ὅλης τῆς
one someone the his-own soul here but for (the)-whole the
ἐκκλησίας μαρτυρεῖ. καὶ νῦν δὲ εἰ πείσαις ἢ βιάσαιο
church bears-witness and now but if you-should-persuade or should-force
τοὺς ἀδελφοὺς εἰς ὁμόνοιαν ἐλθεῖν, μεῖζον ἔσται σοι τοῦ
the brothers to concord to-come greater will-be for-you than-the
σφάλματος τὸ κατόρθωμα, καὶ τὸ μὲν οὐ λογισθήσεται,
error the achievement and the(-one) indeed not will-be-reckoned
τὸ δὲ ἐπαινεθήσεται. εἰ δὲ ἀπειθούντων ἀδυνατοίης,
the(-other) but will-be-praised if but disobeying you-should-be-unable
σώζων σῶζε τὴν σεαυτοῦ ψυχήν. ἐρρῶσθαί σε ἐχόμενον τῆς
saving save the your-own soul to-be-strong you holding-to the
εἰρήνης ἐν κυρίῳ εὔχομαι.” ταῦτα καὶ πρὸς τὸν Νοουάτον.
peace in (the)-Lord I-pray these-things also to — Novatus

Γράφει δὲ καὶ τοῖς κατ᾽ Αἴγυπτον ἐπιστολὴν περὶ 46.1
he-writes and also to-the(-ones) in Egypt (a)-letter about
μετανοίας, ἐν ᾗ τὰ δόξαντα αὐτῷ περὶ τῶν
repentance in which the(-things) having-seemed(-good) to-him about the(-ones)
ὑποπεπτωκότων παρατέθειται, τάξεις παραπτωμάτων
having-fallen he-has-set-beside degrees of-faults
διαγράψας.
having-described

46.2 καὶ πρὸς Κόνωνα (τῆς Ἑρμουπολιτῶν δὲ παροικίας
and to Conon of-the of-Hermopolitans and parish
ἐπίσκοπος ἦν οὗτος) ἰδία τις περὶ μετανοίας αὐτοῦ φέρεται
bishop was this(-man) own some about repentance his is-current
γραφὴ, καὶ ἄλλη ἐπιστρεπτικὴ πρὸς τὸ κατ᾽ Ἀλεξάνδρειαν
writing and another exhortatory to the in Alexandria
ποίμνιον αὐτοῦ. ἐν τούτοις ἐστὶ καὶ ἡ περὶ
flock his among these is also the(-writing) On
μαρτυρίου πρὸς τὸν Ὠριγένην γραφεῖσα, καὶ τοῖς
Martyrdom to — Origen written and to-the(-ones)
κατὰ Λαοδίκειαν ἀδελφοῖς, ὧν προΐστατο Θηλυμίδρης
in Laodicea brothers whom presided-over Thelymidres
ἐπίσκοπος. καὶ τοῖς κατὰ Ἀρμενίαν ὡσαύτως περὶ
bishop and to-the(-ones) in Armenia likewise about
μετανοίας ἐπιστέλλει, ὧν ἐπεσκόπευε Μερουζάνης.
repentance he-writes whom was-bishop-over Meruzanes

46.3 πρὸς ἅπασι τούτοις καὶ Κορνηλίῳ τῷ κατὰ Ῥώμην
besides all these also to-Cornelius the(-one) in Rome
γράφει, δεξάμενος αὐτοῦ τὴν κατὰ τοῦ Νοουάτου ἐπιστολὴν,
he-writes having-received his the against — Novatus letter
ᾧ καὶ σημαίνει δηλῶν ἑαυτὸν παρακεκλῆσθαι ὑπό τε
to-whom also he-signifies showing himself to-have-been-summoned by both
Ἑλένου τοῦ ἐν Ταρσῷ τῆς Κιλικίας ἐπισκόπου καὶ τῶν
Helenus the in Tarsus — of-Cilicia bishop and of-the
λοιπῶν τῶν σὺν αὐτῷ, Φιρμιλλιανοῦ τε τοῦ ἐν
rest of-the(-ones) with him Firmilian both the(-one) in
Καππαδοκίᾳ καὶ τοῦ κατὰ Παλαιστίνην Θεοκτίστου, ὡς
Cappadocia and — in Palestine Theoctistus that
ἂν ἐπὶ τὴν σύνοδον ἀπαντήσοι τὴν κατὰ Ἀντιόχειαν,
— to the synod he-might-come the(-synod) at Antioch
ἔνθα τοῦ Νοουάτου κρατύνειν τινὲς ἐπεχείρουν τὸ σχίσμα.
where — of-Novatus to-strengthen some attempted the schism

πρὸς τούτοις ἐπιστέλλει μηνυθῆναι αὐτῷ Φάβιον μὲν 46.4
besides these he-writes to-have-been-reported to-him Fabius indeed
κεκοιμῆσθαι, Δημητριανὸν δὲ διάδοχον ἐκείνου τῆς κατ᾽
to-have-fallen-asleep Demetrian and successor of-him of-the at
Ἀντιόχειαν ἐπισκοπῆς καθεστάναι. γράφει δὲ καὶ περὶ
Antioch episcopate to-have-been-established he-writes and also about
τοῦ ἐν Ἱεροσολύμοις αὐτοῖς ῥήμασι φάσκων "ὁ μὲν
the(-one) in Jerusalem in-very words saying the indeed
γὰρ μακάριος Ἀλέξανδρος ἐν φρουρᾷ γενόμενος μακαρίως
for blessed Alexander in prison having-been blessedly
ἀνεπαύσατο."
went-to-rest
ἐξῆς ταύτῃ καὶ ἑτέρα τις ἐπιστολὴ τοῖς ἐν Ῥώμῃ 46.5
next to-this also another some letter to-the(-ones) in Rome
τοῦ Διονυσίου φέρεται διακονικὴ διὰ Ἱππολύτου. τοῖς
— of-Dionysius is-current diaconal through Hippolytus to-the
αὐτοῖς ἄλλην περὶ εἰρήνης διατυποῦται, καὶ ὡσαύτως περὶ
same another about peace he-composes and likewise about
μετανοίας, καὶ αὖ πάλιν ἄλλην τοῖς ἐκεῖσε ὁμολογηταῖς,
repentance and in-turn again another to-the there confessors
ἔτι τῇ τοῦ Νοουάτου συμφερομένοις γνώμῃ. τοῖς δὲ
still with-the — of-Novatus agreeing opinion to-the and
αὐτοῖς τούτοις ἑτέρας δύο μεταθεμένοις ἐπὶ τὴν ἐκκλησίαν
same these other two having-changed to the church
ἐπιστέλλει. καὶ ἄλλοις δὲ πλείοσιν ὁμοίως διὰ γραμμάτων
he-writes and to-others too more likewise through letters
ὁμιλήσας ποικίλας τοῖς ἔτι νῦν σπουδὴν περὶ τοὺς
having-conversed various to-the(-ones) still now zeal about the
λόγους αὐτοῦ ποιουμένοις καταλέλοιπεν ὠφελείας.
words his making he-has-left benefits

BOOK VII

XI · STEPHEN, CYPRIAN, AND THE REBAPTISM QUESTION

Dionysius' own letters carry Book VII. Gallus succeeds Decius, and Origen dies at sixty-nine. After Cornelius, Lucius and then Stephen succeed at Rome. The question rises whether converts from heresy must be washed again; Cyprian demands it, and Stephen, refusing any innovation, threatens to break communion with Helenus, Firmilian, and the churches of Cilicia and Galatia. Dionysius writes to Stephen that the East is now at peace, and to Xystus of Stephen's threats; he also reports the Sabellian error at Ptolemais.

Τὸν ἕβδομον τῆς ἐκκλησιαστικῆς ἱστορίας αὖθις ὁ μέγας 1
the seventh of-the ecclesiastical history again the great
ἡμῖν Ἀλεξανδρέων ἐπίσκοπος Διονύσιος ἰδίαις φωναῖς
for-us of-Alexandrians bishop Dionysius with-own words
συνεκπονήσει, τῶν καθ' ἑαυτὸν πεπραγμένων ἕκαστα
will-help-compose of-the(-things) in his-own(-time) done each
ἐν μέρει δι' ὧν καταλέλοιπεν ἐπιστολῶν ὑφηγούμενος.
in part through what he-has-left letters relating
ἐμοὶ δὲ ὁ λόγος ἐντεῦθεν ποιήσεται τὴν ἀρχήν.
for-me and the account from-here will-make the beginning
Δέκιον οὐδ' ὅλον ἐπικρατήσαντα δυοῖν ἐτοῖν χρόνον, 1.1
Decius not-even (the)-whole having-ruled of-two years time
αὐτίκα τε ἅμα παισὶ κατασφαγέντα Γάλλος
straightway and together-with (his)-sons slaughtered Gallus
διαδέχεται. Ὠριγένης ἐν τούτῳ ἑνὸς δέοντα τῆς ζωῆς
succeeds Origen at this(-time) one lacking of-the life
ἑβδομήκοντα ἀποπλήσας ἔτη τελευτᾷ. γράφων γέ
seventy having-fulfilled years dies writing at-least
τοι ὁ Διονύσιος Ἑρμάμμωνι περὶ τοῦ Γάλλου ταῦτα
surely — Dionysius to-Hermammon about — Gallus these-things

φάσκει "ἀλλ' οὐδὲ Γάλλος ἔγνω τὸ Δεκίου κακὸν, οὐδὲ
says but not-even Gallus knew the of-Decius evil nor
προεσκόπησε τί ποτ' ἐκεῖνον ἔσφηλεν, ἀλλὰ πρὸς τὸν
foresaw what ever that(-man) tripped but against the
αὐτὸν πρὸ τῶν ὀφθαλμῶν αὐτοῦ γενόμενον ἔπταισε λίθον.
same before the eyes his having-been he-stumbled stone
ὃς εὖ φερομένης αὐτῷ τῆς βασιλείας, καὶ κατὰ νοῦν
who well going for-him the reign and according-to mind
χωρούντων τῶν πραγμάτων, τοὺς ἱεροὺς ἄνδρας τοὺς
proceeding the affairs the holy men the(-ones)
περὶ τῆς εἰρήνης αὐτοῦ καὶ τῆς ὑγιείας πρεσβεύοντας πρὸς
for the peace his and the health interceding with
τὸν θεὸν ἤλασεν. οὐκοῦν σὺν ἐκείνοις ἐδίωξε καὶ τὰς
— God he-drove(-out) therefore with those he-persecuted also the
ὑπὲρ ἑαυτοῦ προσευχάς." ταῦτα μὲν οὖν περὶ τοῦδε.
for himself prayers these-things indeed then about this(-man)

2.1 Κατὰ δὲ τὴν Ῥωμαίων πόλιν Κορνηλίου ἔτεσιν ἀμφὶ
in and the of-Romans city Cornelius for-years about
τὰ τρία τὴν ἐπισκοπὴν διανύσαντος Λούκιος κατέστη
the three the episcopate having-completed Lucius was-established
διάδοχος, μησὶ δ' οὐδ' ὅλοις οὗτος ὀκτὼ τῇ
successor for-months and not-even whole this(-man) eight in-the
λειτουργίᾳ διακονησάμενος Στεφάνῳ τελευτῶν μεταδίδωσι
ministry having-served to-Stephen dying passes-on
τὸν κλῆρον. τούτῳ τὴν πρώτην ὁ Διονύσιος τῶν περὶ
the lot to-this-one the first — Dionysius of-the about
βαπτίσματος ἐπιστολῶν διατυποῦται, ζητήματος οὐ μικροῦ
baptism letters composes (a)-question not small
τηνικάδε ἀνακινηθέντος, εἰ δέοι τοὺς ἐξ οἵας
at-that-time having-been-stirred-up whether it-was-needful the(-ones) from whatsoever
δ' οὖν αἱρέσεως ἐπιστρέφοντας διὰ λουτροῦ καθαίρειν,
and then heresy turning through washing to-cleanse

παλαιοῦ γέ τοι κεκρατηκότος ἔθους ἐπὶ τῶν τοιούτων
(an)-old at-least surely having-prevailed custom in the such(-cases)
μόνῃ χρῆσθαι τῇ διὰ χειρῶν ἐπιθέσεως εὐχῇ.
only to-use the through of-hands laying-on prayer
Πρῶτος τῶν τότε Κυπριανὸς τῆς κατὰ Καρχηδόνα 3.1
first of-the(-men) then Cyprian of-the at Carthage
παροικίας ποιμὴν οὐδ' ἄλλως ἢ διὰ λουτροῦ πρότερον
parish shepherd not-even otherwise than through washing first
τῆς πλάνης ἀποκαθηραμένους προσίεσθαι δεῖν ἡγεῖτο.
of-the error cleansed to-admit to-be-necessary thought
ἀλλ' ὅ γε Στέφανος, μὴ δεῖν τι νεώτερον παρὰ
but — at-least Stephen not to-be-necessary anything newer beside
τὴν κρατήσασαν ἀρχῆθεν παράδοσιν ἐπικαινοτομεῖν
the having-prevailed from-the-beginning tradition to-innovate
οἰόμενος, ἐπὶ τούτῳ διηγανάκτει.
thinking at this was-indignant
Πλεῖστα δὴ οὖν αὐτῷ περὶ τούτου διὰ γραμμάτων 4.1
very-many(-things) indeed then with-him about this through letters
ὁ Διονύσιος ὁμιλήσας τελευτῶν δηλοῖ ὡς ἄρα τοῦ
— Dionysius having-conversed finally shows that after-all the
διωγμοῦ λελωφηκότος αἱ πανταχόσε ἐκκλησίαι τὴν κατὰ
persecution having-abated the everywhere churches the of
Νοουάτον ἀποστραφεῖσαι νεωτεροποιίαν εἰρήνην πρὸς
Novatus having-turned-from innovation peace with
ἑαυτὰς ἀνειλήφεσαν. γράφει δὲ ὧδε·
themselves had-taken-up he-writes and thus
" Ἴσθι δὲ νῦν, ἀδελφέ, ὅτι ἥνωνται πᾶσαι αἱ πρότερον 5.1
know and now brother that have-been-united all the formerly
διεσχισμέναι κατά τε τὴν ἀνατολὴν ἐκκλησίαι καὶ
split in both the east churches and
ἔτι προσωτέρω. καὶ πάντες εἰσὶν ὁμόφρονες οἱ
still farther and all are of-one-mind the(-ones)

πανταχοῦ προεστῶτες, χαίροντες καθ' ὑπερβολὴν ἐπὶ
everywhere presiding rejoicing to excess at
τῇ παρὰ προσδοκίαν εἰρήνῃ γενομένῃ, Δημητριανὸς ἐν
the beyond expectation peace having-happened Demetrian in
Ἀντιοχείᾳ, Θεόκτιστος ἐν Καισαρείᾳ, Μαζαβάνης ἐν Αἰλίᾳ,
Antioch Theoctistus in Caesarea Mazabanes in Aelia
Μαρῖνος ἐν Τύρῳ κοιμηθέντος Ἀλεξάνδρου, Ἡλιόδωρος ἐν
Marinus in Tyre having-fallen-asleep Alexander Heliodorus in
Λαοδικείᾳ ἀναπαυσαμένου Θηλυμίδρου, Ἕλενος ἐν Ταρσῷ
Laodicea having-gone-to-rest Thelymidres Helenus in Tarsus
καὶ πᾶσαι αἱ τῆς Κιλικίας ἐκκλησίαι, Φιρμιλλιανὸς καὶ
and all the — of-Cilicia churches Firmilian and
πᾶσα Καππαδοκία. τοὺς γὰρ περιφανεστέρους μόνους τῶν
all Cappadocia the for more-prominent only of-the
ἐπισκόπων ὠνόμασα, ἵνα μήτε μῆκος τῇ ἐπιστολῇ μήτε
bishops I-named that neither length to-the letter nor
βάρος προσάψω τῷ λόγῳ.
weight I-might-attach to-the discourse

5.2 αἱ μέντοι Συρίαι ὅλαι καὶ ἡ Ἀραβία, οἷς ἐπαρκεῖτε ἑκάστοτε
the however Syrias whole and — Arabia whom you-help each-time
καὶ οἷς νῦν ἐπεστείλατε, ἥ τε Μεσοποταμία, Πόντος
and to-whom now you-wrote — and Mesopotamia Pontus
τε καὶ Βιθυνία καὶ συνελόντι εἰπεῖν ἀγαλλιῶνται πάντες
both and Bithynia and to-one-summing-up to-say exult all
πανταχοῦ τῇ ὁμονοίᾳ καὶ φιλαδελφίᾳ, δοξάζοντες τὸν θεόν."
everywhere in-the concord and brotherly-love glorifying — God

5.3 ταῦτα μὲν ὁ Διονύσιος. Στέφανον δ' ἐπὶ δυσὶν
these-things indeed — Dionysius Stephen and for two
ἀποπλήσαντα τὴν λειτουργίαν ἔτεσι Ξύστος διαδέχεται.
having-fulfilled the ministry years Xystus succeeds
τούτῳ δευτέραν ὁ Διονύσιος περὶ βαπτίσματος ἐγχαράξας
to-this-one (a)-second — Dionysius about baptism having-written

ἐπιστολὴν ὁμοῦ τὴν Στεφάνου καὶ τῶν λοιπῶν ἐπισκόπων
letter at-once the of-Stephen and of-the rest bishops
γνώμην τε καὶ κρίσιν δηλοῖ, περὶ τοῦ Στεφάνου λέγων
opinion both and judgment shows about — Stephen saying
ταῦτα·
these-things
"ἐπεστάλκει μὲν οὖν πρότερον καὶ περὶ Ἑλένου καὶ περὶ 5.4
he-had-written indeed then formerly also about Helenus and about
Φιρμιλλιανοῦ καὶ πάντων τῶν τε ἀπὸ Κιλικίας καὶ
Firmilian and all the(-ones) both from Cilicia and
Γαλατίας καὶ πάντων τῶν ἐξῆς ὁμορούντων ἐθνῶν, ὡς
Galatia and all the next bordering nations that
οὐδὲ ἐκείνοις κοινωνήσων διὰ τὴν αὐτὴν ταύτην
not-even with-those he-would-communicate because-of the same this
αἰτίαν, ἐπειδὴ τοὺς αἱρετικοὺς, φησὶν, ἀναβαπτίζουσι.
cause since the heretics he-says they-rebaptize
καὶ σκόπει τὸ μέγεθος τοῦ πράγματος. ὄντως γὰρ δόγματα 5.5
and consider the greatness of-the matter really for decrees
περὶ τούτου γέγονεν ἐν ταῖς μεγίσταις τῶν ἐπισκόπων
about this have-been-made in the greatest of-the bishops
συνόδοις, ὡς πυνθάνομαι, ὥστε τοὺς προσιόντας ἀπὸ
synods as I-learn so-that the(-ones) approaching from
αἱρέσεως, προκατηχηθέντας, εἶτα ἀπολούσασθαι καὶ
heresy having-been-catechized-before then to-wash and
ἀνακαθαίρεσθαι τὸν τῆς παλαιᾶς καὶ ἀκαθάρτου ζύμης
to-cleanse-again the of-the old and unclean leaven
ῥύπον. καὶ περὶ τούτων αὐτοῦ πάντων δεόμενος ἐπέστειλα."
filth and about these(-things) him all begging I-wrote
καὶ μεθ' ἕτερά φησι "καὶ τοῖς ἀγαπητοῖς δὲ ἡμῶν 5.6
and after other(-things) he-says and to-the beloved and our
καὶ συμπρεσβυτέροις Διονυσίῳ καὶ Φιλήμονι, συμψήφοις
and fellow-presbyters Dionysius and Philemon of-one-vote

πρότερον Στεφάνῳ γενομένοις, καὶ περὶ τῶν αὐτῶν
formerly with-Stephen having-been and about the same(-things)
μοι γράφουσι, πρότερον μὲν ὀλίγα, καὶ νῦν δὲ
to-me writing formerly indeed (a)-few(-words) and now but
διὰ πλειόνων ἐπέστειλα." ἀλλὰ ταῦτα μὲν περὶ τοῦ
through more I-wrote but these-things indeed about the
δηλουμένου ζητήματος.
shown question

6.1 Σημαίνων δὲ ἐν ταὐτῷ καὶ περὶ τῶν κατὰ Σαβέλλιον
signifying and in the-same also about the of Sabellius
αἱρετικῶν ὡς κατ' αὐτὸν ἐπιπολαζόντων ταῦτά φησι
heretics as in his(-time) flourishing these-things he-says
"περὶ γὰρ τοῦ νῦν κινηθέντος ἐν τῇ Πτολεμαΐδι τῆς
about for the now stirred-up in — Ptolemais —
Πενταπόλεως δόγματος, ὄντος ἀσεβοῦς καὶ βλασφημίαν
of-Pentapolis doctrine being impious and blasphemy
πολλὴν ἔχοντος περὶ τοῦ παντοκράτορος θεοῦ, πατρὸς
much having about the almighty God (the)-father
τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἀπιστίαν τε πολλὴν
of-the Lord our Jesus Christ unbelief and much
περὶ τοῦ μονογενοῦς παιδὸς αὐτοῦ καὶ πρωτοτόκου πάσης
about the only-begotten son his and firstborn of-all
κτίσεως, τοῦ ἐνανθρωπήσαντος λόγου, ἀναισθησίαν δὲ
creation the having-become-man word insensibility and
τοῦ ἁγίου πνεύματος, ἐλθόντων ἑκατέρωθεν πρὸς ἐμὲ
of-the holy spirit having-come from-both-sides to me
καὶ προγραμμάτων καὶ τῶν διαλεξομένων ἀδελφῶν,
both documents and the about-to-dispute brothers
ἐπέστειλά τινα ὡς ἐδυνήθην, παρασχόντος τοῦ θεοῦ,
I-wrote some(-things) as I-was-able granting(-it) — God

διδασκαλικώτερον ὑφηγούμενος, ὧν τὰ ἀντίγραφα
more-instructively relating of-which the copies
ἔπεμψά σοι.”
I-sent to-you

XII · DIONYSIUS ON BAPTISM AND VALERIAN'S PERSECUTION

Dionysius writes to Philemon of the vision that bade him read heretical books, since he could judge everything, and of rebaptism, decreed at Iconium and Synnada too; to Dionysius of Rome he lists the charges against Novatus; and to Xystus he tells of an old communicant who wept that his heretical baptism had been none, whom Dionysius would not baptize again. Valerian, at first kind to Christians, was turned to persecution by Macrianus, master of the Egyptian magi.

Καὶ ἐν τῇ τρίτῃ δὲ τῶν περὶ βαπτίσματος, 7.1
and in the third and of-the(-letters) about baptism
ἣν Φιλήμονι τῷ κατὰ Ῥώμην πρεσβυτέρῳ ὁ αὐτὸς
which to-Philemon the in Rome presbyter the same
γράφει Διονύσιος, ταῦτα παρατίθεται “ἐγὼ δὲ καὶ τοῖς
writes Dionysius these-things he-sets-beside I and also the
συντάγμασι καὶ ταῖς παραδόσεσι τῶν αἱρετικῶν ἐνέτυχον,
treatises and the traditions of-the heretics read
χραίνων μέν μου πρὸς ὀλίγον τὴν ψυχὴν ταῖς
defiling indeed my for (a)-little(-while) the soul with-the
παμμιάροις αὐτῶν ἐνθυμήσεσιν, ὄνησιν δ’ οὖν ἀπ’ αὐτῶν
most-foul their notions benefit and then from them
ταύτην λαμβάνων, τὸ ἐξελέγχειν αὐτοὺς παρ’ ἐμαυτῷ, καὶ
this receiving the to-refute them within myself and
πολὺ πλέον βδελύττεσθαι.
much more to-loathe(-them)

7.2 καὶ δή τινος ἀδελφοῦ τῶν πρεσβυτέρων με ἀπείργοντος
and indeed a-certain brother of-the presbyters me restraining
καὶ δεδιττομένου συμφύρεσθαι τῷ τῆς πονηρίας αὐτῶν
and frightening to-be-mixed-up in-the of-the wickedness their
βορβόρῳ· λυμανεῖσθαι γὰρ τὴν ψυχὴν τὴν ἐμαυτοῦ, καὶ
filth would-harm for the soul the my-own and
ἀληθῆ γε λέγοντος, ὡς ᾐσθόμην· ὅραμα θεόπεμπτον
true(-things) at-least saying as I-perceived (a)-vision God-sent
προσελθὸν ἐπέρρωσέ με.
having-come strengthened me

7.3 καὶ λόγος πρός με γενόμενος προσέταξε διαρρήδην λέγων,
and (a)-word to me having-come commanded expressly saying
πᾶσιν ἐντύγχανε οἷς ἂν εἰς χεῖρας λάβοις· διευθύνειν
all read whatever — into hands you-may-take to-straighten
γὰρ ἕκαστα καὶ δοκιμάζειν ἱκανὸς εἶ, καί σοι γέγονε
for each(-thing) and to-test able you-are and for-you has-been
τοῦτο ἐξ ἀρχῆς καὶ τῆς πίστεως αἴτιον. ἀπεδεξάμην
this from (the)-beginning also of-the faith cause I-accepted
τὸ ὅραμα, ὡς ἀποστολικῇ φωνῇ συντρέχον τῇ λεγούσῃ
the vision as with-apostolic voice agreeing the(-voice) saying
πρὸς τοὺς δυνατωτέρους, γίνεσθε δόκιμοι τραπεζῖται."
to the stronger become approved money-changers

7.4 εἶτά τινα περὶ πασῶν εἰπὼν τῶν αἱρέσεων ἐπιφέρει
then some(-things) about all having-said the heresies he-adds
λέγων "τοῦτον ἐγὼ τὸν κανόνα καὶ τὸν τύπον παρὰ
saying this I the rule and the pattern from
τοῦ μακαρίου πάπα ἡμῶν Ἡρακλᾶ παρέλαβον. τοὺς
the blessed pope our Heraclas received the(-ones)
γὰρ προσιόντας ἀπὸ τῶν αἱρέσεων, καίτοι τῆς
for approaching from the heresies although from-the
ἐκκλησίας ἀποστάντας, μᾶλλον δὲ οὐδὲ ἀποστάντας,
church having-departed rather but not-even having-departed

ἀλλὰ συνάγεσθαι μὲν δοκοῦντας, καταμηνυθέντας δὲ
but to-assemble indeed seeming informed-against but
ὡς προσφοιτῶντάς τινι τῶν ἑτεροδιδασκαλούντων,
as frequenting some(-one) of-the(-ones) teaching-otherwise
ἀπελάσας τῆς ἐκκλησίας, δεομένους οὐ προσήκατο,
having-driven-out from-the church begging not he-admitted
ἕως δημοσίᾳ πάντα ὅσα ἠκηκόεσαν παρὰ τοῖς
until publicly all as-many-as they-had-heard from the
ἀντιδιατιθεμένοις ἐξέφρασαν, καὶ τότε συνήγαγεν αὐτοὺς,
opponents they-declared and then he-gathered them
οὐ δεηθεὶς ἐπ᾽ αὐτῶν ἑτέρου βαπτίσματος· τοῦ γὰρ
not requiring for them another baptism the(-baptism) for
ἁγίου πρότερον παρ᾽ αὐτοῦ τετυχήκεσαν.”
holy formerly from him they-had-obtained
πάλιν δὲ ἐπὶ πολὺ γυμνάσας τὸ πρόβλημα ταῦτα 7.5
again and for long having-exercised the problem these-things
ἐπιλέγει “μεμάθηκα καὶ τοῦτο, ὅτι μὴ νῦν οἱ ἐν Ἀφρικῇ
he-adds I-have-learned also this that not now the(-ones) in Africa
μόνον τοῦτο παρεισήγαγον, ἀλλὰ καὶ πρὸ πολλοῦ κατὰ
only this introduced but also before much under
τοὺς πρὸ ἡμῶν ἐπισκόπους ἐν ταῖς πολυανθρωποτάταις
the before us bishops in the most-populous
ἐκκλησίαις καὶ ταῖς συνόδοις τῶν ἀδελφῶν, ἐν Ἰκονίῳ
churches and the synods of-the brothers in Iconium
καὶ Συννάδοις καὶ παρὰ πολλοῖς τοῦτο ἔδοξεν· ὧν
and Synnada and among many this seemed(-good) of-whom
τὰς βουλὰς ἀνατρέπων εἰς ἔριν αὐτοὺς καὶ φιλονεικίαν
the counsels overturning into strife them and contention
ἐμβαλεῖν οὐχ ὑπομένω. οὐ γὰρ μετακινήσεις, φησὶν,
to-cast not I-endure not for you-shall-remove he-says
ὅρια τοῦ πλησίον σου, ἃ ἔθεντο οἱ πατέρες σου.”
(the)-boundaries of-the neighbor your which set the fathers your

7.6 ἡ τετάρτη αὐτοῦ τῶν περὶ βαπτίσματος ἐπιστολῶν πρὸς
the fourth his of-the about baptism letters to
τὸν κατὰ Ῥώμην ἐγράφη Διονύσιον, τότε μὲν πρεσβείου
the(-one) in Rome was-written Dionysius then indeed of-presbytery
ἠξιωμένον, οὐκ εἰς μακρὸν δὲ καὶ τὴν ἐπισκοπὴν τῶν
deemed-worthy not to long(-time) but also the episcopate of-the(-ones)
ἐκεῖσε παρειληφότα· ἐξ ἧς γνῶναι πάρεστιν ὅπως καὶ
there having-received from which to-know it-is-possible how also
αὐτὸς οὗτος λόγιός τε καὶ θαυμάσιος πρὸς τοῦ κατ᾽
himself this(-man) learned both and wonderful by the(-one) in
Ἀλεξάνδρειαν Διονυσίου μεμαρτύρηται. γράφει δὲ αὐτῷ
Alexandria Dionysius has-been-attested he-writes and to-him
μεθ᾽ ἕτερα τῶν κατὰ τὸν Νοουάτον μνημονεύων
after other(-things) of-the(-things) concerning — Novatus making-mention
ἐν τούτοις.
in these(-words)

8.1 “Νοουατιανῷ μὲν γὰρ εὐλόγως ἀπεχθανόμεθα διακόψαντι
Novatian indeed for reasonably we-hate having-divided
τὴν ἐκκλησίαν, καί τινας τῶν ἀδελφῶν εἰς ἀσεβείας καὶ
the church and some of-the brothers into impieties and
βλασφημίας ἑλκύσαντι, καὶ περὶ τοῦ θεοῦ διδασκαλίαν
blasphemies having-dragged and about — God (a)-teaching
ἀνοσιωτάτην ἐπεισκυκλήσαντι, καὶ τὸν χρηστότατον κύριον
most-unholy having-introduced and the most-kind Lord
ἡμῶν Ἰησοῦν Χριστὸν ὡς ἀνηλεῆ συκοφαντοῦντι, ἐπὶ
our Jesus Christ as merciless slandering in-addition-to
πᾶσι δὲ τούτοις τὸ λουτρὸν ἀθετοῦντι τὸ ἅγιον, καὶ τήν τε
all and these(-things) the washing rejecting the holy and the both
πρὸ αὐτοῦ πίστιν καὶ ὁμολογίαν ἀνατρέποντι, τό τε πνεῦμα
before it faith and confession overturning the both spirit

τὸ ἅγιον ἐξ αὐτῶν, εἰ καί τις ἦν ἐλπὶς τοῦ παραμεῖναι
the holy from them if even any was hope of-the to-remain
ἢ καὶ ἐπανελθεῖν πρὸς αὐτοὺς, παντελῶς φυγαδεύοντι."
or also to-return to them altogether banishing
Καὶ ἡ πέμπτη δὲ αὐτῷ πρὸς τὸν Ῥωμαίων ἐπίσκοπον 9.1
and the fifth and by-him to the of-Romans bishop
Ξύστον ἐγέγραπτο, ἐν ᾗ πολλὰ κατὰ τῶν αἱρετικῶν
Xystus had-been-written in which many(-things) against the heretics
εἰπὼν τοιοῦτόν τι γεγονὸς κατ' αὐτὸν ἐκτίθεται
having-said such something having-happened in his(-time) he-sets-forth
λέγων· "καὶ γὰρ ὄντως, ἀδελφὲ, καὶ συμβουλῆς δέομαι, καὶ
saying and for really brother also counsel I-need and
γνώμην αἰτῶ παρὰ σοῦ, τοιούτου τινός μοι προσελθόντος
opinion I-ask from you such some to-me having-come
πράγματος, δεδιὼς μὴ ἄρα σφάλλωμαι.
matter fearing lest after-all I-may-be-mistaken
τῶν γὰρ συναγομένων ἀδελφῶν πιστὸς νομιζόμενος 9.2
of-the for assembling brothers (a)-believer thought
ἀρχαῖος καὶ πρὸ τῆς ἐμῆς χειροτονίας, οἶμαι δὲ καὶ πρὸ
old and before the my ordination I-think and even before
τῆς τοῦ μακαρίου Ἡρακλᾶ καταστάσεως τῆς συναγωγῆς
the of-the blessed Heraclas appointment of-the assembly
μετασχὼν, τοῖς ὑπόγυιον βαπτιζομένοις παρατυχὼν,
having-partaken with-the(-ones) lately being-baptized having-been-present
καὶ τῶν ἐπερωτήσεων καὶ ἀποκρίσεων ἐπακούσας,
and the questions and answers having-heard
προσῆλθέ μοι κλαίων καὶ καταθρηνῶν ἑαυτὸν καὶ πίπτων
came to-me weeping and bewailing himself and falling
πρὸ τῶν ποδῶν μου, ἐξομολογούμενος μὲν καὶ ἐξομνύμενος
before the feet my confessing indeed and forswearing
τὸ βάπτισμα, ὃ παρὰ τοῖς αἱρετικοῖς βεβάπτιστο, μὴ
the baptism which among the heretics he-had-been-baptized not

τοιοῦτον εἶναι, μηδὲ ὅλως ἔχειν τινὰ πρὸς τοῦτο κοινωνίαν·
such to-be nor at-all to-have any toward this fellowship
ἀσεβείας γὰρ ἐκεῖνο καὶ βλασφημιῶν πεπληρῶσθαι.
of-impiety for that and of-blasphemies to-have-been-filled
9.3 λέγων δὲ πάνυ τι τὴν ψυχὴν νῦν κατανενύχθαι, καὶ
saying and very much the soul now to-have-been-pierced and
μηδὲ παρρησίαν ἔχειν ἐπᾶραι τοὺς ὀφθαλμοὺς πρὸς τὸν
not-even boldness to-have to-lift the eyes to —
θεὸν, ἀπὸ τῶν ἀνοσίων ἐκείνων ῥημάτων καὶ πραγμάτων
God from the unholy those words and deeds
ὁρμώμενος· καὶ διὰ τοῦτο δεόμενος τῆς εἰλικρινεστάτης
setting-out and because-of this begging of-the most-pure
ταύτης καθάρσεως καὶ παραδοχῆς καὶ χάριτος τυχεῖν.
this cleansing and reception and grace to-obtain
9.4 ὅπερ ἐγὼ μὲν οὐκ ἐτόλμησα ποιῆσαι, φήσας αὐτάρκη
which I indeed not dared to-do having-said sufficient
τὴν πολυχρόνιον αὐτῷ κοινωνίαν εἰς τοῦτο γεγονέναι.
the long-standing for-him communion for this to-have-been
εὐχαριστίας γὰρ ἐπακούσαντα, καὶ συνεπιφθεγξάμενον τὸ
of-thanksgiving for having-heard and having-joined-in-saying the
ἀμὴν, καὶ τραπέζῃ παραστάντα, καὶ χεῖρας εἰς ὑποδοχὴν
amen and at-the-table having-stood and hands for reception
τῆς ἁγίας τροφῆς προτείναντα, καὶ ταύτην καταδεξάμενον,
of-the holy food having-stretched-out and this having-received
καὶ τοῦ σώματος καὶ τοῦ αἵματος τοῦ κυρίου ἡμῶν Ἰησοῦ
and of-the body and of-the blood of-the Lord our Jesus
Χριστοῦ μετασχόντα ἱκανῷ χρόνῳ, οὐκ ἂν ἐξ ὑπαρχῆς
Christ having-partaken for-sufficient time not — from (the)-beginning
ἀνασκευάζειν ἔτι τολμήσαιμι· θαρσεῖν δὲ ἐκέλευον,
to-rebuild further would-I-dare to-take-courage but I-bade(-him)

καὶ μετὰ βεβαίας πίστεως καὶ ἀγαθῆς συνειδήσεως τῇ
and with firm faith and good conscience to-the
μετοχῇ τῶν ἁγίων προσιέναι.
participation of-the holy(-things) to-approach
ὁ δὲ οὔτε πενθῶν παύεται, πέφρικέ τε τῇ τραπέζῃ 9.5
he and neither from-mourning ceases shudders and the table
προσιέναι, καὶ μόλις παρακαλούμενος συνεστάναι ταῖς
to-approach and scarcely being-exhorted to-stand-with the
προσευχαῖς ἀνέχεται."
prayers endures
ἐπὶ ταῖς προειρημέναις φέρεταί τις καὶ ἄλλη τοῦ αὐτοῦ περὶ 9.6
besides the aforesaid is-current some also another of-the same about
βαπτίσματος ἐπιστολή, ἐξ αὐτοῦ καὶ ἧς ἡγεῖτο παροικίας
baptism letter from him and of-which he-led parish
Ξυστῷ καὶ τῇ κατὰ Ῥώμην ἐκκλησίᾳ προσπεφωνημένη,
to-Xystus and to-the in Rome church addressed
ἐν ᾗ διὰ μακρᾶς ἀποδείξεως τὸν περὶ τοῦ ὑποκειμένου
in which through long demonstration the about the underlying
ζητήματος παρατείνει λόγον. καὶ ἄλλη δέ τις αὐτοῦ μετὰ
question he-extends discourse and another too some his after
ταύτας φέρεται πρὸς τὸν κατὰ Ῥώμην Διονύσιον, ἡ
these is-current to the(-one) in Rome Dionysius the(-one)
περὶ Λουκιανοῦ. καὶ περὶ μὲν τούτων τοσαῦτα.
about Lucian and about indeed these(-things) so-much
Οἵ γε μὴν ἀμφὶ τὸν Γάλλον οὐδ' ὅλοις ἔτεσι 10.1
the(-men) at-least indeed around — Gallus not-even (for)-whole years
δύο τὴν ἀρχὴν ἐπικατασχόντες ἐκποδὼν μεθίστανται,
two the rule having-held out-of-the-way are-removed
Οὐαλεριανὸς δὲ ἅμα Γαλλιηνῷ παιδὶ διαδέχεται τὴν
Valerian and together-with Gallienus (his)-son succeeds the
ἡγεμονίαν.
government

10.2 αὖθις δὴ οὖν ὁ Διονύσιος οἷα καὶ περὶ τούτου
again indeed then — Dionysius what-sort also about this(-man)
διέξεισιν, ἐκ τῆς πρὸς Ἑρμάμμωνα ἐπιστολῆς μαθεῖν
he-goes-through from the to Hermammon letter to-learn
ἔστιν, ἐν ᾗ τοῦτον ἱστορεῖ τὸν τρόπον "καὶ τῷ
it-is-possible in which this records the manner and —
Ἰωάννῃ δὲ ὁμοίως ἀποκαλύπτεται. καὶ ἐδόθη γὰρ αὐτῷ,
to-John and likewise is-revealed and was-given for to-him
φησὶ, στόμα λαλοῦν μεγάλα καὶ βλασφημίαν, καὶ ἐδόθη
he-says (a)-mouth speaking great(-things) and blasphemy and was-given
αὐτῷ ἐξουσία καὶ μῆνες τεσσαράκοντα δύο.
to-him authority and months forty two

10.3 ἀμφότερα δὲ ἔστιν ἐπὶ Οὐαλεριανοῦ θαυμάσαι, καὶ
both and it-is under Valerian to-wonder-at and
τούτων μάλιστα τὰ πρὸ αὐτοῦ ὡς οὗτος ἔσχε
of-these most the(-things) before him how this(-man) fared
συννοεῖν, ὡς μὲν ἤπιος καὶ φιλόφρων ἦν πρὸς τοὺς
to-consider how indeed gentle and kindly he-was toward the
ἀνθρώπους τοῦ θεοῦ. οὐδὲ γὰρ ἄλλος τις οὕτω τῶν πρὸ
men — of-God not-even for other any so of-the before
αὐτοῦ βασιλέων εὐμενῶς καὶ δεξιῶς πρὸς αὐτοὺς διετέθη,
him emperors favorably and kindly toward them was-disposed
οὐδ' οἱ λεχθέντες ἀναφανδὸν Χριστιανοὶ γεγονέναι,
not-even the(-ones) said openly Christians to-have-been
ὡς ἐκεῖνος οἰκειότατα ἐν ἀρχῇ καὶ προσφιλέστατα
as he most-familiarly at (the)-beginning and most-affectionately
φανερὸς ἦν αὐτοὺς ἀποδεχόμενος. καὶ πᾶς τε ὁ οἶκος
manifest was them receiving and all and the household
αὐτοῦ θεοσεβῶν πεπλήρωτο καὶ ἦν ἐκκλησία θεοῦ.
his of-God-fearing(-men) had-been-filled and was (a)-church of-God

ἀποσκευάσασθαι δὲ παρέπεισεν αὐτὸν ὁ διδάσκαλος καὶ 10.4
to-get-rid-of(-them) and persuaded him the teacher and
τῶν ἀπ᾽ Αἰγύπτου μάγων ἀρχισυνάγωγος, τοὺς μὲν
of-the from Egypt magicians chief-of-the-synagogue the indeed
καθαροὺς καὶ ὁσίους ἄνδρας κτίννυσθαι καὶ διώκεσθαι
pure and holy men to-be-killed and to-be-persecuted
κελεύων, ὡς ἀντιπάλους καὶ κωλυτὰς τῶν παμμιάρων
ordering as adversaries and hinderers of-the most-foul
καὶ βδελυκτῶν ἐπαοιδῶν ὑπάρχοντας, (καὶ γὰρ εἰσὶ
and abominable incantations being and for they-are
καὶ ἦσαν ἱκανοὶ, παρόντες καὶ ὁρώμενοι, καὶ μόνον
and were able being-present and being-seen and only
ἐμπνέοντες καὶ φθεγγόμενοι, διασκεδάσαι τὰς τῶν
breathing and speaking to-scatter the of-the
ἀλιτηρίων δαιμόνων ἐπιβουλάς), τελετὰς δὲ ἀνάγνους
wicked demons plots rites and impure
καὶ μαγγανείας ἐξαγίστους καὶ ἱερουργίας ἀκαλλιερήτους
and sorceries abominable and sacrifices ill-omened
ἐπιτελεῖν ὑποτιθέμενος, παῖδας ἀθλίους ἀποσφάττειν, καὶ
to-perform suggesting boys wretched to-slaughter and
τέκνα δυστήνων πατέρων καταθύειν, καὶ σπλάγχνα νεογενῆ
children of-unhappy fathers to-sacrifice and entrails newborn
διαιρεῖν, καὶ τὰ τοῦ θεοῦ διακόπτειν καὶ καταχορδεύειν
to-divide and the — of-God to-cut-up and to-back-to-pieces
πλάσματα, ὡς ἐκ τούτων εὐδαιμονήσοντας.”
creatures as from these about-to-prosper
καὶ τούτοις γε ἐπιφέρει λέγων “καλὰ γοῦν αὐτοῖς 10.5
and to-these at-least he-adds saying fine at-any-rate to-them
Μακριανὸς τῆς ἐλπιζομένης βασιλείας· προσήνεγκε
Macrianus of-the hoped-for reign brought
χαριστήρια, ὃς πρότερον μὲν ἐπὶ τῶν καθόλου λόγων
thank-offerings who formerly indeed over the general accounts

λεγόμενος εἶναι βασιλέως οὐδὲν εὔλογον οὐδὲ καθολικὸν
said to-be of-(the)-emperor nothing reasonable nor general
ἐφρόνησεν, ἀλλ᾽ ὑποπέπτωκεν ἀρᾷ προφητικῇ τῇ
thought but has-fallen-under (the)-curse prophetic the(-one)
λεγούσῃ ‘οὐαὶ τοῖς προφητεύουσιν ἀπὸ καρδίας αὐτῶν,
saying woe to-the(-ones) prophesying from (the)-heart their
καὶ τὸ καθόλου μὴ βλέπουσιν.’
and the general not seeing

10.6 οὐ γὰρ συνῆκε τὴν καθόλου πρόνοιαν, οὐδὲ τὴν κρίσιν
not for he-understood the general providence nor the judgment
ὑπείδετο τοῦ πρὸ πάντων καὶ διὰ πάντων καὶ ἐπὶ πᾶσι.
suspected of-the(-one) before all and through all and over all
διὸ καὶ τῆς μὲν καθολικῆς αὐτοῦ ἐκκλησίας γέγονε
wherefore also of-the indeed catholic his church he-has-become
πολέμιος, ἠλλοτρίωσε δὲ καὶ ἀπεξένωσεν ἑαυτὸν τοῦ
(an)-enemy he-estranged and and alienated himself from-the
ἐλέους τοῦ θεοῦ, καὶ ὡς πορρωτάτω τῆς ἑαυτοῦ σωτηρίας
mercy — of-God and as farthest from-the his-own salvation
ἐφυγάδευσεν, ἐν τούτῳ τὸ ἴδιον ἐπαληθεύων ὄνομα.”
he-exiled(-himself) in this the own verifying name

10.7 καὶ πάλιν μεθ᾽ ἕτερά φησιν “ὁ μὲν γὰρ Οὐαλεριανὸς εἰς
and again after other(-things) he-says — indeed for Valerian into
ταῦτα ὑπὸ τούτου προαχθεὶς, εἰς ὕβρεις καὶ ὀνειδισμοὺς
these-things by this(-man) having-been-led-on to insults and reproaches
ἐκδοθεὶς κατὰ τὸ ῥηθὲν πρὸς Ἡσαΐαν· ‘καὶ
having-been-given-over according-to the(-word) spoken to Isaiah and
οὗτοι ἐξελέξαντο τὰς ὁδοὺς αὐτῶν καὶ τὰ βδελύγματα
these chose the ways their and the abominations
αὐτῶν, ἃ ἡ ψυχὴ αὐτῶν ἠθέλησε, καὶ ἐγὼ ἐκλέξομαι τὰ
their which the soul their wished and I will-choose the
ἐμπαίγματα αὐτῶν, καὶ τὰς ἁμαρτίας ἀνταποδώσω αὐτοῖς.’
mockeries their and the sins will-repay to-them

οὗτος δὲ τῇ βασιλείᾳ παρὰ τὴν ἀξίαν ἐπιμανεὶς, καὶ τὸν 10.8
this(-man) and for-the kingship beyond the worth having-gone-mad and the
βασίλειον ὑποδῦναι κόσμον ἀδυνατῶν ἀναπήρῳ τῷ σώματι,
royal to-put-on attire being-unable with-crippled the body
τοὺς δύο παῖδας τὰς πατρῴας ἀναδεξαμένους ἁμαρτίας
the two sons the paternal having-taken-on sins
προεστήσατο. ἐναργὴς γὰρ ἐπὶ τούτων ἡ πρόρρησις ἣν
he-put-forward manifest for upon these the prediction which
εἶπεν ὁ θεός ‘ἀποδιδοὺς ἁμαρτίας πατέρων ἐπὶ τέκνα
said — God repaying (the)-sins of-fathers upon children
ἕως τρίτης καὶ τετάρτης γενεᾶς τοῖς μισοῦσί με.’
until (the)-third and fourth generation for-the(-ones) hating me
τὰς γὰρ ἰδίας πονηρὰς ἐπιθυμίας, ὧν ηὐτύχει, ταῖς 10.9
the for own wicked desires in-which he-was-fortunate on-the
τῶν υἱῶν κεφαλαῖς ἐπιβαλὼν, εἰς ἐκείνους τὴν ἑαυτοῦ
of-the sons heads having-cast onto those the his-own
κακίαν καὶ τὸ πρὸς τὸν θεὸν μῖσος ἐξωμόρξατο.” καὶ
wickedness and the toward — God hatred he-wiped-off and
περὶ μὲν τοῦ Οὐαλεριανοῦ τοσαῦτα ὁ Διονύσιος.
about indeed — Valerian so-much — Dionysius

Answering Germanus, who spoke ill of him, Dionysius quotes the record of his trial before the governor Aemilian: commanded to worship the gods, he answered that one must obey God rather than men; banished to Cephro in Libya, he gathered a church there among the heathen and was moved again to Colluthion. Confined later in a Libyan desert, he names, not the martyrs, but the clergy who stayed hidden to serve the faithful.

11.1 Περὶ δὲ τοῦ κατ᾽ αὐτὸν διωγμοῦ σφοδρότατα πνεύσαντος
about and the in his(-time) persecution most-violently having-blown
οἷα σὺν ἑτέροις ὁ αὐτὸς διὰ τὴν εἰς τὸν
what-sort(-things) with others the same because-of the toward the
τῶν ὅλων θεὸν εὐσέβειαν ὑπέστη, δηλώσουσιν αἱ αὐτοῦ
of-the universe God piety underwent will-show the his
φωναί, ἃς πρὸς Γερμανὸν τῶν κατ᾽ αὐτὸν ἐπισκόπων
words which against Germanus of-the in his(-time) bishops
κακῶς ἀγορεύειν αὐτὸν πειρώμενον ἀποτεινόμενος τοῦτον
ill to-speak-of him trying aiming this
παρατίθεται τὸν τρόπον “εἰς ἀφροσύνην δὲ κινδυνεύω
he-sets-beside the manner into folly and I-risk
πολλὴν καὶ ἀναισθησίαν ὄντως ἐμπεσεῖν, εἰς ἀνάγκην
much and insensibility truly to-fall into necessity
συμβιβαζόμενος τοῦ διηγεῖσθαι τὴν θαυμαστὴν περὶ ἡμᾶς
being-forced of-the to-relate the wonderful toward us
οἰκονομίαν τοῦ θεοῦ.
dispensation — of-God

11.2 ἀλλ᾽ ἐπειδὴ μυστήριον, φησὶ, βασιλέως κρύψαι καλὸν,
but since (the)-mystery he-says of-(a)-king to-hide (is)-good
τὰ δὲ ἔργα τοῦ θεοῦ ἀνακαλύπτειν ἔνδοξον, ὁμόσε
the but works — of-God to-reveal (is)-glorious to-close-quarters
χωρήσω τῇ Γερμανοῦ βίᾳ.
I-will-go with-the of-Germanus violence

ἦκον πρὸς Αἰμιλιανὸν οὐ μόνος· ἠκολούθησαν δέ μοι 11.3
I-came to Aemilian not alone followed and me
συμπρεσβύτερός τέ μου Μάξιμος καὶ διάκονοι Φαῦστος
fellow-presbyter both my Maximus and deacons Faustus
καὶ Εὐσέβιος καὶ Χαιρήμων· καί τις τῶν ἀπὸ Ῥώμης
and Eusebius and Chaeremon and one of-the from Rome
παρόντων ἀδελφῶν ἡμῖν συνεισῆλθεν.
present brothers with-us went-in
Αἰμιλιανὸς δὲ οὐκ εἶπέ μοι προηγουμένως ‘μὴ σύναγε.’ 11.4
Aemilian and not said to-me at-the-outset not assemble
περιττὸν γὰρ ἦν αὐτῷ τοῦτο καὶ τὸ τελευταῖον ἐπὶ τὸ
superfluous for was for-him this and the last(-thing) to the
πρῶτον ἀνατρέχοντι. οὐ γὰρ περὶ τοῦ μὴ συνάγειν ἑτέρους
first running-back not for about the not to-assemble others
ὁ λόγος ἦν αὐτῷ, ἀλλὰ περὶ τοῦ μηδ’ αὐτοὺς ἡμᾶς
the word was for-him but about the not-even ourselves us
εἶναι Χριστιανούς, καὶ τούτου προσέταττε πεπαῦσθαι, εἰ
to-be Christians and from-this he-ordered to-have-ceased if
μεταβαλοίμην ἔγωγε, καὶ τοὺς ἄλλους ἕψεσθαί μοι νομίζων.
I-should-change I-at-least and the others to-follow me thinking
ἀπεκρινάμην δὲ οὐκ ἀπεοικότως οὐδὲ μακράν ‘πειθαρχεῖν 11.5
I-answered and not unfittingly nor at-length to-obey
δεῖ θεῷ μᾶλλον ἢ ἀνθρώποις.’ ἀλλ’ ἄντικρυς
one-must God rather than men but outright
διεμαρτυράμην ὅτι τὸν θεὸν τὸν ὄντα μόνον καὶ οὐδένα
I-testified that — God the(-one) being alone and no
ἕτερον σέβω, οὐδ’ ἂν μεταθείμην οὐδὲ παυσαίμην ποτὲ
other I-worship nor — would-I-change nor cease ever
Χριστιανὸς ὤν. ἐπὶ τούτοις ἐκέλευσεν ἡμᾶς ἀπελθεῖν εἰς
(a)-Christian being upon these(-things) he-ordered us to-go-away to
κώμην πλησίον τῆς ἐρήμου καλουμένην Κεφρώ.
(a)-village near the desert called Cephro

11.6 αὐτῶν δὲ ἐπακούσατε τῶν ὑπ᾽ ἀμφοτέρων λεχθέντων ὡς
very and hear the(-things) by both said as
ὑπεμνηματίσθη. εἰσαχθέντων Διονυσίου καὶ Φαύστου καὶ
it-was-recorded having-been-brought-in Dionysius and Faustus and
Μαξίμου καὶ Μαρκέλλου καὶ Χαιρήμονος Αἰμιλιανὸς διέπων
Maximus and Marcellus and Chaeremon Aemilian administering
τὴν ἡγεμονίαν εἶπε· καὶ ἀγράφως ὑμῖν διελέχθην περὶ τῆς
the government said also without-writing with-you I-conversed about the
φιλανθρωπίας τῶν κυρίων ἡμῶν ᾗ περὶ ὑμᾶς κέχρηνται.
humanity of-the lords our which toward you they-have-used
11.7 δεδώκασι γὰρ ἐξουσίαν ὑμῖν σωτηρίας, εἰ βούλοισθε ἐπὶ
they-have-given for power to-you of-salvation if you-should-wish to
τὸ κατὰ φύσιν τρέπεσθαι, καὶ θεοὺς τοὺς σώζοντας
the according-to nature to-turn and gods the(-ones) saving
αὐτῶν τὴν βασιλείαν προσκυνεῖν, ἐπιλαθέσθαι τε τῶν
their the reign to-worship to-forget and the(-things)
παρὰ φύσιν. τί οὖν φατὲ πρὸς ταῦτα; οὐδὲ γὰρ
against nature what then do-you-say to these-things not for
ἀχαρίστους ὑμᾶς ἔσεσθαι περὶ τὴν φιλανθρωπίαν αὐτῶν
ungrateful you to-be about the humanity their
προσδοκῶ, ἐπειδήπερ ἐπὶ τὰ βελτίω ὑμᾶς προτρέπονται.
I-expect since to the better you they-urge
11.8 Διονύσιος ἀπεκρίνατο· οὐ πάντες πάντας προσκυνοῦσι
Dionysius answered not all all worship
θεούς, ἀλλ᾽ ἕκαστοι τινὰς, οὓς νομίζουσιν. ἡμεῖς τοίνυν
gods but each(-people) some whom they-think(-gods) we therefore
τὸν ἕνα θεὸν, τὸν δημιουργὸν τῶν ἁπάντων, τὸν
the one God the creator of-the all the(-one)
καὶ τὴν βασιλείαν ἐγχειρίσαντα τοῖς θεοφιλεστάτοις
also the reign having-entrusted to-the most-God-loving
Οὐαλεριανῷ καὶ Γαλλιηνῷ σεβαστοῖς, τοῦτον καὶ σέβομεν
Valerian and Gallienus Augusti this-one both we-reverence

καὶ προσκυνοῦμεν, καὶ τούτῳ διηνεκῶς ὑπὲρ τῆς βασιλείας
and worship and to-this-one continually for the reign
αὐτῶν, ὅπως ἀσάλευτος διαμένῃ, προσευχόμεθα.
their that unshaken it-may-remain we-pray
Αἰμιλιανὸς διέπων τὴν ἡγεμονίαν αὐτοῖς εἶπε· τίς 11.9
Aemilian administering the government to-them said who
γὰρ ὑμᾶς κωλύει καὶ τοῦτον, εἴπερ ἐστὶ θεὸς, μετὰ
for you prevents also this-one if-indeed he-is (a)-god with
τῶν κατὰ φύσιν θεῶν προσκυνεῖν; θεοὺς γὰρ σέβειν
the according-to nature gods to-worship gods for to-reverence
ἐκελεύσθητε, καὶ θεοὺς οὓς πάντες ἴσασι. Διονύσιος
you-were-ordered and gods whom all know Dionysius
ἀπεκρίνατο ‘ἡμεῖς οὐδένα ἕτερον προσκυνοῦμεν.’
answered we no other worship
Αἰμιλιανὸς διέπων τὴν ἡγεμονίαν αὐτοῖς εἶπεν· ὁρῶ 11.10
Aemilian administering the government to-them said I-see
ὑμᾶς ὁμοῦ καὶ ἀχαρίστους ὄντας καὶ ἀναισθήτους τῆς
you at-once both ungrateful being and insensible of-the
πραότητος τῶν σεβαστῶν ἡμῶν. διόπερ οὐκ ἔσεσθε ἐν
gentleness of-the Augusti our therefore not you-will-be in
τῇ πόλει ταύτῃ, ἀλλὰ ἀποσταλήσεσθε εἰς τὰ μέρη τῆς
the city this but you-will-be-sent to the parts —
Λιβύης, καὶ ἐν τόπῳ λεγομένῳ Κεφρώ· τοῦτον γὰρ τὸν
of-Libya and in (a)-place called Cephro this for the
τόπον ἐξελεξάμην ἐκ τῆς κελεύσεως τῶν σεβαστῶν ἡμῶν.
place I-chose from the command of-the Augusti our
οὐδαμῶς δὲ ἐξέσται οὔτε ὑμῖν οὔτε ἄλλοις τισὶν ἢ
in-no-way and it-will-be-allowed neither to-you nor to-others any either
συνόδους ποιεῖσθαι, ἢ εἰς τὰ καλούμενα κοιμητήρια εἰσιέναι.
assemblies to-make or into the so-called cemeteries to-enter

11.11 εἰ δέ τις φανείη ἢ μὴ γενόμενος εἰς τὸν τόπον
if but anyone should-appear either not having-come to the place
τοῦτον ὃν ἐκέλευσα, ἢ ἐν συναγωγῇ τινι εὑρεθείη,
this which I-ordered or in assembly any should-be-found
ἑαυτῷ τὸν κίνδυνον ἐπαρτήσει. οὐ γὰρ ἐπιλείψει ἡ
on-himself the danger he-will-hang not for will-be-lacking the
δέουσα ἐπιστρέφεια. ἀπόστητε οὖν ὅπου ἐκελεύσθητε. καὶ
needful attention depart then where you-were-ordered and
νοσοῦντα δέ με κατήπειξεν, οὐδὲ μιᾶς ὑπέρθεσιν δοὺς
being-sick too me be-hurried not-even of-one postponement having-given
ἡμέρας. ποίαν οὖν ἔτι τοῦ συναγαγεῖν ἢ μὴ συναγαγεῖν
day what then still of-the to-assemble or not to-assemble
εἶχον σχολήν;" εἶτα μεθ' ἕτερά φησιν
had-I leisure then after other(-things) he-says
11.12 "ἀλλ' οὐδὲ τῆς αἰσθητῆς ἡμεῖς μετὰ τοῦ κυρίου συναγωγῆς
but not-even from-the perceptible we with the Lord assembly
ἀπέστημεν, ἀλλὰ τοὺς μὲν ἐν τῇ πόλει σπουδαιότερον
withdrew but the(-ones) indeed in the city more-zealously
συνεκρότουν ὡς συνὼν, ἀπὼν μὲν τῷ σώματι, ὡς
I-gathered as being-with(-them) absent indeed in-the body as
εἰπεῖν, παρὼν δὲ τῷ πνεύματι, ἐν δὲ τῇ Κεφροῖ καὶ πολλὴ
to-say present but in-the spirit in and — Cephro also large
συνεπεδήμησεν ἡμῖν ἐκκλησία, τῶν μὲν ἀπὸ τῆς πόλεως
sojourned-with us (a)-church of-the indeed from the city
ἀδελφῶν ἑπομένων, τῶν δὲ συνόντων ἀπ' Αἰγύπτου.
brothers following of-the(-ones) and being-with(-us) from Egypt
11.13 κἀκεῖ θύραν ἡμῖν ὁ θεὸς ἀνέῳξε τοῦ λόγου. καὶ τὸ μὲν
and-there (a)-door for-us — God opened of-the word and the indeed
πρῶτον ἐδιώχθημεν, ἐλιθοβολήθημεν, ὕστερον δέ τινες οὐκ
first(-time) we-were-persecuted we-were-stoned later but some not
ὀλίγοι τῶν ἐθνῶν τὰ εἴδωλα καταλιπόντες ἐπέστρεψαν
few of-the gentiles the idols having-left turned

ἐπὶ τὸν θεόν. οὐ πρότερον γὰρ παραδεξαμένοις αὐτοῖς
to — God not before for having-received(-it) to-them
τότε πρῶτον δι᾽ ἡμῶν ὁ λόγος ἐπεσπάρη.
then first through us the word was-sown
καὶ ὥσπερ τούτου ἕνεκεν ἀπαγαγὼν ἡμᾶς πρὸς αὐτοὺς 11.14
and as-if of-this for-the-sake having-led-away us to them
ὁ θεὸς, ἐπεὶ τὴν διακονίαν ταύτην ἐπληρώσαμεν, πάλιν
— God when the ministry this we-fulfilled again
ἀπαγήοχεν. ὁ γὰρ Αἰμιλιανὸς εἰς τραχυτέρους μὲν, ὡς
he-has-led(-us)-away — for Aemilian into rougher indeed as
ἐδόκει, καὶ λιβυκωτέρους ἡμᾶς μεταστῆσαι τόπους ἐβουλήθη,
it-seemed and more-Libyan us to-remove places wished
καὶ τοὺς πανταχόσε εἰς τὸν Μαρεώτην ἐκέλευσε συρρεῖν,
and the(-ones) everywhere into — Mareotis ordered to-flow-together
κώμας ἑκάστοις τῶν κατὰ χώραν ἀφορίσας, ἡμᾶς
villages to-each of-the(-people) in (the)-country having-assigned us
δὲ μᾶλλον ἐν ὁδῷ καὶ πρώτους καταληφθησομένους
but rather on (the)-road and first to-be-caught
ἔταξεν. ᾠκονόμει γὰρ δηλονότι καὶ παρεσκεύαζεν, ἵνα
he-placed he-was-arranging for evidently and he-was-preparing that
ὁπόταν βουληθείη συλλαβεῖν, πάντας εὐαλώτους ἔχοι.
whenever he-should-wish to-seize all easily-caught he-might-have
ἐγὼ δὲ ὅτε μὲν εἰς Κεφρὼν κεκελεύσμην ἀπελθεῖν, καὶ 11.15
I and when indeed to Cephro I-had-been-ordered to-go-away also
τὸν τόπον ἠγνόουν ὅποι ποτὲ οὗτός ἐστιν, οὐδὲ τὸ
the place I-did-not-know where ever this is not-even the
ὄνομα σχεδὸν πρότερον ἀκηκοώς· καὶ ὅμως εὐθύμως
name nearly before having-heard and nevertheless cheerfully
καὶ ἀταράχως ἀπῄειν. ἐπεὶ δὲ μετασκηνώσειν εἰς τὰ
and calmly I-went-away when and to-move-quarters to the(-parts)

Κολλουθίωνος ἀπηγγέλη μοι, ἴσασιν οἱ παρόντες
of-Colluthion it-was-announced to-me know the(-ones) present
ὅπως διετέθην· ἐνταῦθα γὰρ ἐμαυτοῦ κατηγορήσω.
how I-was-disposed here for myself I-shall-accuse
11.16 τὸ μὲν πρῶτον ἠχθέσθην καὶ λίαν ἐχαλέπηνα· καὶ γὰρ εἰ
the indeed first(-time) I-was-vexed and greatly was-angry and for if
γνωριμώτεροι καὶ συνηθέστεροι ἐτύγχανον ἡμῖν οἱ τόποι,
more-known and more-familiar happened-to-be to-us the places
ἀλλ' ἔρημον μὲν ἀδελφῶν καὶ σπουδαίων ἀνθρώπων
but empty indeed of-brothers and earnest men
ἔφασκον εἶναι τὸ χωρίον, ταῖς δὲ τῶν ὁδοιπορούντων
they-said to-be the region to-the and of-the(-ones) traveling
ἐνοχλήσεσι καὶ ληστῶν καταδρομαῖς ἐγκείμενον.
annoyances and of-robbers to-raids exposed
11.17 ἔτυχον δὲ παραμυθίας, ὑπομνησάντων με τῶν ἀδελφῶν,
I-obtained and consolation having-reminded me the brothers
ὅτι γειτνιᾷ μᾶλλον τῇ πόλει, καὶ ἡ μὲν Κεφρὼν
that it-neighbors rather the city and — indeed Cephro
πολλὴν ἡμῖν ἦγεν ἀδελφῶν τῶν ἀπ' Αἰγύπτου τὴν
much to-us brought of-brothers of-the(-ones) from Egypt the
ἐπιμιξίαν, ὡς πλατύτερον ἐκκλησιάζειν δύνασθαι, ἐκεῖ δὲ
intercourse so-that more-widely to-hold-church to-be-able there but
πλησιαίτερον οὔσης τῆς πόλεως συνεχέστερον τῆς τῶν
nearer being the city more-continually of-the of-the
ὄντως ἀγαπητῶν καὶ οἰκειοτάτων καὶ φιλτάτων ὄψεως
truly beloved and most-intimate and dearest sight
ἀπολαύσομεν. ἀφίξονται γὰρ καὶ ἀναπαύσονται, καὶ ὡς
we-shall-enjoy they-will-come for and will-rest and as
ἐν προαστείοις πορρωτέρω κειμένοις κατὰ μέρος ἔσονται
in suburbs farther lying by part there-will-be
συναγωγαί. καὶ οὕτως ἐγένετο."
assemblies and thus it-happened

καὶ μεθ᾽ ἕτερα περὶ τῶν συμβεβηκότων αὐτῷ 11.18
and after other(-things) about the(-things) having-happened to-him
αὖθις ταῦτα γράφει “πολλαῖς γε ταῖς ὁμολογίαις
again these-things he-writes many at-least in-the confessions
Γερμανὸς σεμνύνεται. πολλά γε εἰπεῖν ἔχει καθ᾽
Germanus prides-himself many(-things) at-least to-say he-has against
ἑαυτοῦ γενόμενα. ὅσας ἀριθμῆσαι δύναται περὶ ἡμῶν
himself having-happened as-many-as to-count can about us
ἀποφάσεις, δημεύσεις, προγραφὰς, ὑπαρχόντων ἁρπαγὰς,
sentences confiscations proscriptions of-possessions plunderings
ἀξιωμάτων ἀποθέσεις, δόξης κοσμικῆς ὀλιγωρίας, ἐπαίνων
of-dignities depositions of-glory worldly contempts of-praises
ἡγεμονικῶν καὶ βουλευτικῶν καταφρονήσεις, καὶ τῶν
of-governors and of-councilors despisings and of-the
ἐναντίων ἀπειλῶν καὶ καταβοήσεων καὶ κινδύνων καὶ
opposing threats and outcries and dangers and
διωγμῶν καὶ πλάνης καὶ στενοχωρίας καὶ ποικίλης
persecutions and wandering and distress and various
θλίψεως ὑπομονὴν, οἷα τὰ ἐπὶ Δεκίου καὶ Σαβίνου
affliction endurance such-as the(-things) under Decius and Sabinus
συμβάντα μοι, οἷα μέχρι νῦν Αἰμιλιανοῦ.
having-happened to-me such-as until now of-Aemilian
ποῦ δὲ Γερμανὸς ἐφάνη; τίς δὲ περὶ αὐτοῦ λόγος; 11.19
where and Germanus appeared what and about him account
ἀλλὰ τῆς πολλῆς ἀφροσύνης, εἰς ἣν ἐμπίπτω διὰ
but from-the much folly into which I-fall because-of
Γερμανόν, ὑφίεμαι, διὸ καὶ τὴν καθ᾽ ἕκαστον τῶν
Germanus I-desist wherefore also the in each(-case) of-the(-things)
γενομένων διήγησιν παρίημι τοῖς εἰδόσιν ἀδελφοῖς λέγειν.”
having-happened account I-leave to-the knowing brothers to-tell

11.20 ὁ δ᾽ αὐτὸς καὶ ἐν τῇ πρὸς Δομέτιον καὶ Δίδυμον ἐπιστολῇ
the and same also in the to Dometius and Didymus letter
τῶν ἀμφὶ τὸν διωγμὸν αὖθις μνημονεύει ἐν τούτοις
of-the(-things) about the persecution again he-makes-mention in these(-words)
"τοὺς δὲ ἡμετέρους πολλούς τε ὄντας καὶ ἀγνῶτας ὑμῖν
the(-ones) and ours many both being and unknown to-you
περισσὸν ὀνομαστὶ καταλέγειν· πλὴν ἴστε ὅτι ἄνδρες καὶ
superfluous by-name to-list except know that men and
γυναῖκες, καὶ νέοι καὶ γέροντες, καὶ κόραι καὶ πρεσβύτιδες,
women and young and old and maidens and old-women
καὶ στρατιῶται καὶ ἰδιῶται, καὶ πᾶν γένος καὶ πᾶσα
and soldiers and private-men and every race and every
ἡλικία, οἱ μὲν διὰ μαστίγων καὶ πυρὸς, οἱ δὲ διὰ
age some indeed through scourges and fire others and through
σιδήρου τὸν ἀγῶνα νικήσαντες τοὺς στεφάνους ἀπειλήφασι·
iron the contest having-conquered the crowns have-received
11.21 τοῖς δὲ οὐ πάμπολυς αὐτάρκης ἀπέβη χρόνος εἰς τὸ
to-others and not very-much sufficient turned-out time for the
φανῆναι δεκτοὺς τῷ κυρίῳ, ὥσπερ οὖν ἔοικε μηδὲ ἐμοὶ
to-appear acceptable to-the Lord as then it-seems not-even to-me
ὁ μέχρι νῦν. διόπερ εἰς ὃν οἶδεν αὐτὸς ἐπιτήδειον
the(-time) until now therefore to what knows he suitable
καιρὸν ὑπερέθετό με ὁ λέγων 'καιρῷ δεκτῷ ἐπήκουσά
time he-reserved me the(-one) saying in-time acceptable I-heard
σου, καὶ ἐν ἡμέρᾳ σωτηρίας ἐβοήθησά σοι.'
you and in day of-salvation I-helped you
11.22 τὰ γὰρ καθ᾽ ἡμᾶς ἐπειδὴ πυνθάνεσθε καὶ βούλεσθε
the(-things) for concerning us since you-inquire and wish
δηλωθῆναι ὑμῖν ὅπως διάγομεν, ἠκούσατε μὲν πάντως
to-be-shown to-you how we-live you-heard indeed surely
ὅπως ἡμᾶς δεσμώτας ἀπαγομένους ὑπὸ ἑκατοντάρχου
how us prisoners being-led-away by (a)-centurion

καὶ στρατηγῶν καὶ τῶν σὺν αὐτοῖς στρατιωτῶν καὶ
and generals and the with them soldiers and
ὑπηρετῶν, ἐμέ τε καὶ Γάϊον καὶ Φαῦστον καὶ Πέτρον
attendants me both and Gaius and Faustus and Peter
καὶ Παῦλον, ἐπελθόντες τινὲς τῶν Μαρεωτῶν ἄκοντας
and Paul having-come some of-the Mareotes unwilling
καὶ μηδὲ ἑπομένους, βίᾳ τε σύροντες ἀφήρπασαν.
and not-even following by-force and dragging snatched-away
ἐγὼ δὲ νῦν καὶ Γάϊος καὶ Πέτρος, μόνοι τῶν ἄλλων 11.23
I and now and Gaius and Peter alone of-the other
ἀδελφῶν ἀπορφανισθέντες, ἐν ἐρήμῳ καὶ αὐχμηρῷ τῆς
brothers bereft in (a)-desert and squalid —
Λιβύης τόπῳ κατακεκλείσμεθα, τριῶν ἡμερῶν ὁδὸν τοῦ
of-Libya place have-been-shut-up three days journey —
Παραιτονίου διεστηκότες."
from-Paraetonium being-distant
καὶ ὑποκαταβάς φησιν "ἐν δὲ τῇ πόλει καταδεδύκασιν 11.24
and having-gone-on he-says in and the city have-hidden
ἀφανῶς ἐπισκεπτόμενοι τοὺς ἀδελφούς — πρεσβύτεροι
secretly visiting the brothers presbyters
μὲν Μάξιμος, Διόσκορος, Δημήτριος, Λούκιος· οἱ γὰρ
indeed Maximus Dioscorus Demetrius Lucius the(-ones) for
ἐν τῷ κόσμῳ προφανέστεροι Φαυστῖνος καὶ Ἀκύλας ἐν
in the world more-prominent Faustinus and Aquila in
Αἰγύπτῳ πλανῶνται· διάκονοι δὲ οἱ μετὰ τοὺς
Egypt are-wandering deacons and the(-ones) after the(-ones)
ἐν τῇ νόσῳ τελευτήσαντας ὑπολειφθέντες Φαῦστος,
in the plague having-died left Faustus
Εὐσέβιος, Χαιρήμων· Εὐσέβιος, ὃν ἐξ ἀρχῆς ὁ θεὸς
Eusebius Chaeremon Eusebius whom from (the)-beginning — God
ἐνεδυνάμωσε καὶ παρεσκεύασε, τὰς ὑπηρεσίας τῶν ἐν ταῖς
strengthened and prepared the services of-the in the

φυλακαῖς γενομένων ὁμολογητῶν ἐναγωνίως ἀποπληροῦν,
prisons having-been confessors strenuously to-fulfill
καὶ τὰς τῶν σωμάτων περιστολὰς τῶν τελείων καὶ
and the of-the bodies layings-out of-the perfect and
μακαρίων μαρτύρων οὐκ ἀκινδύνως ἐκτελεῖν.
blessed martyrs not without-danger to-perform
11.25 καὶ γὰρ μέχρι νῦν οὐκ ἀνίησιν ὁ ἡγούμενος, τοὺς μὲν
and for until now not lets-up the governor the(-ones) indeed
ἀναιρῶν, ὡς προεῖπον, ὠμῶς τῶν προσαγομένων,
killing as I-said-before cruelly of-the(-ones) brought-before(-him)
τοὺς δὲ βασάνοις καταξαίνων, τοὺς δὲ φυλακαῖς
the(-ones) and with-tortures tearing the(-ones) and in-prisons
καὶ δεσμοῖς ἐκτήκων, προστάσσων τε μηδένα τούτοις
and in-bonds wasting ordering both no-one to-these
προσιέναι, καὶ ἀνερευνῶν μή τις φανείη. καὶ ὅμως ὁ
to-approach and searching lest anyone should-appear and nevertheless —
θεὸς τῇ προθυμίᾳ καὶ λιπαρείᾳ τῶν ἀδελφῶν διαναπαύει
God by-the eagerness and perseverance of-the brothers refreshes
τοὺς πεπιεσμένους." καὶ τοσαῦτα μὲν ὁ Διονύσιος.
the(-ones) oppressed and so-much indeed — Dionysius
11.26 ἰστέον δὲ ὡς ὁ μὲν Εὐσέβιος, ὃν διάκονον
one-must-know and that — indeed Eusebius whom deacon
προσεῖπεν, σμικρὸν ὕστερον ἐπίσκοπος ἐκκλησίας τῆς κατὰ
he-called (a)-little later bishop of-(the)-church — in
Συρίαν Λαοδικείας καθίσταται, ὁ δὲ Μάξιμος, ὃν τότε
Syria of-Laodicea is-appointed — and Maximus whom then
πρεσβύτερον εἴρηκε, μετὰ τὸν Διονύσιον τὴν λειτουργίαν
(a)-presbyter he-has-called after — Dionysius the ministry
τῶν κατ' Ἀλεξάνδρειαν ἀδελφῶν διαδέχεται, Φαῦστος δὲ
of-the in Alexandria brothers succeeds Faustus and
ὁ σὺν αὐτῷ τηνικάδε διαπρέψας ἐν τῇ ὁμολογίᾳ,
the(-one) with him at-that-time having-excelled in the confession

μέχρι τοῦ καθ᾽ ἡμᾶς διωγμοῦ φυλαχθεὶς, γηραιὸς
until the in our(-time) persecution having-been-preserved aged
κομιδῇ καὶ πλήρης ἡμερῶν καθ᾽ ἡμᾶς αὐτοὺς μαρτυρίῳ
very and full of-days in our very(-time) by-martyrdom
τὴν κεφαλὴν ἀποτμηθεὶς τελειοῦται. ἀλλὰ τὰ μὲν
the head having-been-cut-off is-perfected but the(-things) indeed
κατ᾽ ἐκεῖνο καιροῦ τῷ Διονυσίῳ συμβάντα τοιαῦτα.
at that of-time — to-Dionysius having-happened such

XIV · GALLIENUS' PEACE AND THE STATUE AT PANEAS

At Caesarea Priscus, Malchus, and Alexander offered themselves to the beasts. Gallienus, ruling alone, issued a rescript restoring the churches' places. Bishops of the time are named. Marinus, denounced as a Christian when about to be made centurion, chose the Gospel over the sword and was beheaded; Astyrius buried him. At Paneas a demon's sacrifice failed at Astyrius' prayer, and a bronze statue showed the woman healed of her issue of blood before Jesus. Jerusalem keeps James' throne.

Κατὰ δὲ τὸν δηλούμενον Οὐαλεριανοῦ διωγμὸν τρεῖς 12.1
during and the shown of-Valerian persecution three
ἐν Καισαρείᾳ τῆς Παλαιστίνης τῇ κατὰ Χριστὸν
in Caesarea — of-Palestine in-the according-to Christ
διαλάμψαντες ὁμολογίᾳ θείῳ κατεκοσμήθησαν μαρτυρίῳ,
having-shone confession with-divine were-adorned martyrdom
θηρίων γενόμενοι βορά. τούτων ὁ μὲν Πρίσκος
of-beasts having-become food of-these the(-one) indeed Priscus
ἐκαλεῖτο, ὁ δὲ Μάλχος, τῷ δὲ τρίτῳ Ἀλέξανδρος
was-called the(-other) and Malchus to-the and third Alexander
ὄνομα ἦν. τούτους φασὶ κατ᾽ ἀγρὸν οἰκοῦντας πρότερον
name was these they-say in (the)-country dwelling formerly
μὲν ἑαυτοὺς ὡς ἀμελεῖς καὶ ῥᾳθύμους κακίσαι, ὅτι δὴ
indeed themselves as careless and sluggish to-have-reproached that indeed

βραβείων, τοῦ καιροῦ τοῖς πόθου γλιχομένοις οὐρανίου
prizes the time to-the(-ones) for-longing striving heavenly
διανέμοντος, ὀλιγωροῖεν αὐτοὶ μὴ οὐχὶ προαρπάζοντες
distributing they-were-negligent themselves not not snatching-first
τὸν τοῦ μαρτυρίου στέφανον· ταῦτα δὲ βουλευσαμένους
the of-the martyrdom crown these-things and having-deliberated
ὁρμῆσαι ἐπὶ τὴν Καισάρειαν, ὁμόσε τε χωρῆσαι ἐπὶ
to-have-rushed to — Caesarea to-close-quarters and to-have-gone before
τὸν δικαστὴν, καὶ τυχεῖν τοῦ προδεδηλωμένου τέλους.
the judge and to-have-obtained the before-shown end
ἔτι πρὸς τούτοις γύναιόν τι κατὰ τὸν αὐτὸν διωγμὸν ἐν
further besides these little-woman some during the same persecution in
τῇ αὐτῇ πόλει τὸν ὅμοιον ἱστοροῦσιν ἀγῶνα διηθληκέναι.
the same city the like they-relate contest to-have-fought
τῆς δὲ Μαρκίωνος αὐτὴν αἱρέσεως γενέσθαι κατέχει λόγος.
of-the but of-Marcion her heresy to-have-been holds (the)-account
13.1 Ἀλλ᾽ οὐκ εἰς μακρὸν δουλείαν τὴν παρὰ βαρβάροις
but not for long slavery the(-slavery) among barbarians
ὑπομείναντος Οὐαλεριανοῦ, μοναρχήσας ὁ παῖς
having-endured Valerian having-ruled-alone the son
σωφρονέστερον περὶ τὴν ἀρχὴν διατίθεται, ἀνίησί τε
more-prudently about the rule is-disposed relaxes and
αὐτίκα διὰ προγραμμάτων τὸν καθ᾽ ἡμῶν διωγμὸν,
straightway through edicts the against us persecution
ἐπ᾽ ἐλευθερίας τοῖς τοῦ λόγου προεστῶσι τὰ
in freedom for-the(-ones) of-the word presiding the(-things)
ἐξ ἔθους ἐπιτελεῖν δι᾽ ἀντιγραφῆς προστάξας, ἥτις
from custom to-perform through rescript having-ordered which
τοῦτον ἔχει τὸν τρόπον “Αὐτοκράτωρ Καῖσαρ Πούπλιος
this has the manner Emperor Caesar Publius
Λικίννιος Γαλλιηνὸς, εὐσεβὴς, εὐτυχὴς, σεβαστὸς, Διονυσίῳ
Licinius Gallienus Pius Felix Augustus to-Dionysius

καὶ Πίννᾳ καὶ Δημητρίῳ καὶ τοῖς λοιποῖς ἐπισκόποις.
and Pinnas and Demetrius and to-the other bishops
τὴν εὐεργεσίαν τῆς ἐμῆς δωρεᾶς διὰ παντὸς τοῦ
the benefit of-the my gift through all the
κόσμου ἐκβιβασθῆναι προσέταξα, ὅπως ἀπὸ τόπων τῶν
world to-be-carried-out I-ordered that from places the
θρησκευσίμων ἀποχωρήσωσι. καὶ διὰ τοῦτο καὶ ὑμεῖς
religious they-should-withdraw and because-of this also you
τῆς ἀντιγραφῆς τῆς ἐμῆς τῷ τύπῳ χρῆσθαι δύνασθε, ὥστε
of-the rescript the my the form to-use can so-that
μηδένα ὑμῖν ἐνοχλεῖν. καὶ τοῦτο ὅπερ κατὰ τὸ ἐξὸν
no-one you to-trouble and this which according-to the permissible
δύναται ὑφ' ὑμῶν ἀναπληροῦσθαι ἤδη πρὸ πολλοῦ ὑπ'
can by you be-fulfilled already before much(-time) by
ἐμοῦ συγκεχώρηται. καὶ διὰ τοῦτο Αὐρήλιος Κυρήνιος,
me has-been-conceded and because-of this Aurelius Cyrenius
ὁ τοῦ μεγίστου πράγματος προστατεύων, τὸν τύπον
the(-one) of-the greatest business presiding-over the form
τοῦτον τὸν ὑπ' ἐμοῦ δοθέντα διαφυλάξει." ταῦτα ἐπὶ
this the(-one) by me given will-keep these-things for
τὸ σαφέστερον ἐκ τῆς Ῥωμαίων ἑρμηνευθέντα γλώττης
the clearer from the of-Romans translated language
ἐγκείσθω. καὶ ἄλλη δὲ τοῦ αὐτοῦ διάταξις φέρεται, ἣν
let-stand and another too of-the same decree is-current which
πρὸς ἑτέρους ἐπισκόπους πεποίηται, τὰ τῶν καλουμένων
to other bishops he-has-made the of-the called
κοιμητηρίων ἀπολαμβάνειν ἐπιτρέπων χωρία.
cemeteries to-recover permitting places
Ἐν τούτῳ δὲ τῆς μὲν Ῥωμαίων ἐκκλησίας εἰσέτι τότε 14.1
at this(-time) and of-the indeed of-Romans church still then
καθηγεῖτο Ξύστος, τῆς δὲ ἐπ' Ἀντιοχείας μετὰ
was-leading Xystus of-the(-church) and at Antioch after

Φάβιον Δημητριανὸς, Φιρμιλλιανὸς δὲ Καισαρείας τῆς
Fabius Demetrian Firmilian and of-Caesarea of-the(-land)
Καππαδοκῶν, καὶ ἐπὶ τούτοις τῶν κατὰ Πόντον ἐκκλησιῶν
of-Cappadocians and besides these of-the in Pontus churches
Γρηγόριος καὶ ὁ τούτου ἀδελφὸς Ἀθηνόδωρος, Ὠριγένους
Gregory and the his brother Athenodorus of-Origen
γνώριμοι. τῆς δ' ἐπὶ Παλαιστίνης Καισαρείας Θεοκτίστου
acquaintances of-the and in Palestine Caesarea Theoctistus
μεταλλάξαντος διαδέχεται τὴν ἐπισκοπὴν Δόμνος, βραχεῖ
having-departed succeeds the episcopate Domnus (a)-short
δὲ χρόνῳ τούτου διαγενομένου Θεότεκνος, ὁ καθ'
and time this-one having-continued Theotecnus the(-one) in
ἡμᾶς, διάδοχος καθίσταται. τῆς δ' Ὠριγένους διατριβῆς
our(-time) successor is-appointed of-the and of-Origen school
καὶ οὗτος ἦν. ἀλλὰ καὶ ἐν Ἱεροσολύμοις ἀναπαυσαμένου
also this(-man) was but also in Jerusalem having-gone-to-rest
Μαζαβάνου τὸν θρόνον Ὑμέναιος, ὁ καὶ αὐτὸς ἐπὶ
Mazabanes the throne Hymenaeus the(-one) also himself for
πλείστοις τοῖς καθ' ἡμᾶς διαπρέψας ἔτεσι, διεδέξατο.
very-many the in our(-time) having-been-distinguished years succeeded-to
15.1 Κατὰ τούτους εἰρήνης ἁπανταχοῦ τῶν ἐκκλησιῶν οὔσης,
in their(-time) of-peace everywhere of-the churches being
ἐν Καισαρείᾳ τῆς Παλαιστίνης Μαρῖνος τῶν ἐν
in Caesarea — of-Palestine Marinus of-the(-men) in
στρατείαις ἀξιώμασι τετιμημένων, γένει τε καὶ πλούτῳ
military-services in-ranks honored by-race both and wealth
περιφανὴς ἀνὴρ, διὰ τὴν Χριστοῦ μαρτυρίαν τὴν
illustrious (a)-man because-of the of-Christ testimony the
κεφαλὴν ἀποτέμνεται, τοιᾶσδε ἕνεκεν αἰτίας.
head is-beheaded such for-the-sake cause

τιμή τίς ἐστι παρὰ Ῥωμαίοις τὸ κλῆμα, οὗ 15.2
honor some is among Romans the vine-staff of-which
τοὺς τυχόντας φασὶν ἑκατοντάρχους γίνεσθαι. τόπου
the(-men) obtaining they-say centurions to-become of-place
σχολάζοντος, ἐπὶ τοῦτο προκοπῆς τὸν Μαρῖνον ἡ τοῦ
being-vacant to this advancement — Marinus the of-the
βαθμοῦ τάξις ἐκάλει. ἤδη τε μέλλοντα τῆς τιμῆς ἔχεσθαι,
rank order was-calling already and about-to the honor to-hold
παρελθὼν ἄλλος πρὸ τοῦ βήματος, μὴ ἐξεῖναι μὲν
having-come-forward another before the tribunal not to-be-allowed indeed
ἐκείνῳ τῆς Ῥωμαίων μετέχειν ἀξίας κατὰ τοὺς
for-that(-man) of-the of-Romans to-share dignity according-to the
παλαιοὺς νόμους, Χριστιανῷ γε ὄντι καὶ τοῖς βασιλεῦσι
ancient laws (a)-Christian at-least being and to-the emperors
μὴ θύοντι, κατηγόρει· αὐτῷ δὲ ἐπιβάλλειν τὸν κλῆρον.
not sacrificing accused(-him) to-himself and to-fall the lot
ἐφ' ᾧ κινηθέντα τὸν δικαστὴν (Ἀχαιὸς οὗτος ἦν) 15.3
upon which moved the judge Achaeus this(-man) was
πρῶτον μὲν ἐρέσθαι ποίας ὁ Μαρῖνος εἴη γνώμης.
first indeed to-have-asked of-what — Marinus might-be opinion
ὡς δ' ὁμολογοῦντα Χριστιανὸν ἐπιμόνως ἑώρα, τριῶν
when and confessing (a)-Christian persistently he-saw of-three
ὡρῶν ἐπιδοῦναι αὐτῷ εἰς ἐπίσκεψιν διάστημα.
hours to-have-given to-him for consideration (an)-interval
ἐκτὸς δῆτα γενόμενον αὐτὸν τοῦ δικαστηρίου Θεότεκνος 15.4
outside indeed having-come him of-the tribunal Theotecnus
ὁ τῇδε ἐπίσκοπος ἀφέλκει προσελθὼν δι' ὁμιλίας,
the there bishop draws-aside having-approached in conversation
καὶ τῆς χειρὸς λαβὼν ἐπὶ τὴν ἐκκλησίαν προάγει,
and by-the hand having-taken to the church leads
εἴσω τε πρὸς αὐτῷ στήσας τῷ ἁγιάσματι,
within and by very having-stood(-him) the sanctuary

μικρόν τι παραναστείλας αὐτοῦ τῆς χλαμύδος καὶ
little somewhat having-drawn-aside his of-the cloak and
τὸ προσηρτημένον αὐτῷ ξίφος ἐπιδείξας, ἅμα τε
the hanging-from him sword having-pointed-to together and
ἀντιπαρατίθησι προσαγαγὼν αὐτῷ τὴν τῶν θείων
sets-opposite having-brought-forward to-him the of-the divine
εὐαγγελίων γραφὴν, κελεύσας τῶν δυεῖν ἑλέσθαι τὸ
gospels book having-ordered of-the two to-choose the(-one)
κατὰ γνώμην. ὡς δ' ἀμελλητὶ τὴν δεξιὰν προτείνας
according-to judgment when and without-delay the right-hand having-stretched-out
ἐδέξατο τὴν θείαν γραφὴν, "ἔχου τοίνυν, ἔχου," φησὶ
he-received the divine book hold therefore hold he-says
πρὸς αὐτὸν ὁ Θεότεκνος, "τοῦ θεοῦ, καὶ τύχοις ὧν
to him — Theotecnus — to-God and may-you-obtain what
εἵλου, πρὸς αὐτοῦ δυναμούμενος, καὶ βάδιζε μετ' εἰρήνης."
you-chose by him being-strengthened and go with peace
15.5 εὐθὺς ἐκεῖθεν ἐπανελθόντα αὐτὸν κῆρυξ ἐβόα καλῶν πρὸ
straightway from-there having-returned him (a)-herald shouted calling before
τοῦ δικαστηρίου· καὶ γὰρ ἤδη τὰ τῆς προθεσμίας τοῦ
the tribunal and for already the(-things) of-the appointed-term of-the
χρόνου πεπλήρωτο. καὶ δὴ παραστὰς τῷ δικαστηρίῳ,
time had-been-fulfilled and indeed having-stood-before the tribunal
καὶ μείζονα τῆς πίστεως τὴν προθυμίαν ἐπιδείξας, εὐθὺς,
and greater of-the faith the eagerness having-shown straightway
ὡς εἶχεν, ἀπαχθεὶς τὴν ἐπὶ θανάτῳ τελειοῦται.
as he-was having-been-led-away the(-way) to death is-perfected
16.1 Ἔνθα καὶ Ἀστύριος ἐπὶ τῇ θεοφιλεῖ παρρησίᾳ μνημονεύεται,
there also Astyrius for the God-loving boldness is-remembered
ἀνὴρ τῶν ἐπὶ Ῥώμης συγκλητικῶν γενόμενος, βασιλεῦσί
(a)-man of-the at Rome senators having-been to-emperors
τε προσφιλὴς, καὶ πᾶσι γνώριμος εὐγενείας τε ἕνεκα καὶ
both dear and to-all known of-noble-birth both for-the-sake and

περιουσίας· ὃς παρὼν τηνικάδε τελειουμένῳ τῷ μάρτυρι,
of-wealth who being-present at-that-time being-perfected the martyr
τὸν ὦμον ὑποθεὶς, ἐπὶ λαμπρᾶς καὶ πολυτελοῦς
the shoulder having-put-under on (a)-brilliant and costly
ἐσθῆτος ἄρας τὸ σκήνωμα ἐπιφέρεται, περιστείλας τε
garment having-lifted the body carries(-it) having-wrapped and
εὖ μάλα πλουσίως τῇ προσηκούσῃ ταφῇ παραδίδωσι.
well very richly to-the fitting burial he-hands-over
τούτου μυρία μὲν καὶ ἄλλα μνημονεύουσιν οἱ τἀνδρὸς
of-this-one countless indeed also other(-things) relate the of-the-man
καὶ εἰς ἡμᾶς διαμείναντες γνώριμοι,
even to us having-survived acquaintances
ἀτὰρ καὶ παραδόξου τοιούτου. ἐπὶ τῆς Φιλίππου 17.1
but also of-wonderful(-deed) such-as at the of-Philip
Καισαρείας, ἣν Πανεάδα Φοίνικες προσαγορεύουσι, φασὶ
Caesarea which Paneas Phoenicians call they-say
παρὰ ταῖς αὐτόθι δεικνυμέναις ἐν ταῖς ὑπωρείαις τοῦ
at the there shown in the foothills of-the
καλουμένου Πανίου ὄρους πηγαῖς, ἐξ ὧν καὶ τὸν
called Paneum mountain springs from which also the
Ἰορδάνην προχεῖσθαι, κατά τινα ἑορτῆς ἡμέραν σφάγιόν
Jordan to-flow at some of-festival day victim
τι καταβάλλεσθαι, καὶ τοῦτο τῇ τοῦ δαίμονος δυνάμει
some to-be-thrown-in and this by-the of-the demon power
ἀφανὲς γίνεσθαι παραδόξως, θαῦμά τε εἶναι περιβόητον
invisible to-become wonderfully (a)-wonder and to-be notorious
τοῖς παροῦσι τὸ γινόμενον. παρόντα δ' οὖν ποτὲ
to-the(-ones) present the(-thing) happening being-present and then once
τοῖς πραττομένοις τὸν Ἀστύριον, καὶ τὸ πρᾶγμα
at-the(-things) being-done — Astyrius and the matter
καταπεπληγμένους ἰδόντα τοὺς πολλοὺς, οἰκτεῖραι
amazed having-seen the many to-have-pitied(-them)

τῆς πλάνης, κἄπειτα ἀνανεύσαντα εἰς οὐρανὸν ἱκετεῦσαι
for-the error and-then having-looked-up to heaven to-have-supplicated
διὰ Χριστοῦ τὸν ἐπὶ πάντων θεὸν, τὸ λαοπλάνον
through Christ the over all God the people-deceiving
δαιμόνιον ἐλέγξαι καὶ παῦσαι τῆς τῶν ἀνθρώπων ἀπάτης.
demon to-expose and to-stop of-the of-the men deception
ταῦτα δέ φασιν εὐξαμένου ἀθρόως τὸ ἱερεῖον ἐπιπολάσαι
these-things and they-say having-prayed all-at-once the victim to-have-floated
ταῖς πηγαῖς, οὕτω τε αὐτοῖς τὸ παράδοξον οἴχεσθαι,
on-the springs thus and for-them the wonder to-have-gone-away
μηδενὸς μηκέτι θαύματος περὶ τὸν τόπον γενομένου.
of-no any-longer wonder about the place having-happened

18.1 Ἀλλ' ἐπειδὴ τῆσδε τῆς πόλεως εἰς μνήμην ἐλήλυθα, οὐκ
but since of-this the city to memory I-have-come not
ἄξιον ἡγοῦμαι παρελθεῖν διήγησιν καὶ τοῖς μεθ' ἡμᾶς
worthy I-think to-pass-over (a)-narrative also to-the(-ones) after us
μνημονεύεσθαι ἀξίαν. τὴν γὰρ αἱμορροοῦσαν, ἣν ἐκ
to-be-remembered worthy the for woman-with-hemorrhage whom from
τῶν ἱερῶν εὐαγγελίων πρὸς τοῦ σωτῆρος ἡμῶν τοῦ
the sacred gospels from the savior our of-the
πάθους ἀπαλλαγὴν εὑρέσθαι μεμαθήκαμεν, ἐνθένδε ἔλεγον
suffering release to-have-found we-have-learned from-here they-said
ὁρμᾶσθαι, τόν τε οἶκον αὐτῆς ἐπὶ τῆς πόλεως δείκνυσθαι,
to-come the both house her in the city to-be-shown
καὶ τῆς ὑπὸ τοῦ σωτῆρος εἰς αὐτὴν εὐεργεσίας θαυμαστὰ
and of-the from the savior to her benefit wonderful
τρόπαια παραμένειν.
memorials to-remain

18.2 ἑστάναι γὰρ ἐφ' ὑψηλοῦ λίθου πρὸς μὲν ταῖς πύλαις
to-stand for on (a)-high stone near indeed the gates
τοῦ αὐτῆς οἴκου γυναικὸς ἐκτύπωμα χάλκεον ἐπὶ γόνυ
of-the her house of-(a)-woman (an)-image bronze on knee

κεκλιμένον καὶ τεταμέναις ἐπὶ τὸ πρόσθεν ταῖς χερσὶν,
bent and stretched to the front with-the hands
ἱκετευούσῃ ἐοικὸς, τούτου δὲ ἄντικρυς ἄλλο τῆς αὐτῆς ὕλης
supplicating resembling of-this and opposite another of-the same material
ἀνδρὸς ὄρθιον σχῆμα, διπλοΐδα κοσμίως περιβεβλημένον,
of-(a)-man upright figure (a)-double-cloak decently wrapped-in
καὶ τὴν χεῖρα τῇ γυναικὶ προτείνον, οὗ παρὰ τοῖς
and the hand to-the woman stretching-out of-which at the
ποσὶν ἐπὶ τῆς στήλης αὐτῆς ξένον τι βοτάνης εἶδος
feet on the column itself strange some of-plant kind
φύειν, ὃ μέχρι τοῦ κρασπέδου τῆς τοῦ χαλκοῦ διπλοΐδος
not once but already also second(-time) some endured all

δὲ ἀπειλὰς οὐ λόγοις μόνον, ἀλλὰ καὶ ἔργοις τῶν δορυφόρων
and threats not by-words only but also by-deeds of-the guards
κατ᾽ αὐτῶν φιλοτιμουμένων, οὐκ ἐνεδίδουν τὴν γνώμην,
against them vying not they-gave-up the resolve
διὰ τὸ τὴν τελείαν ἀγάπην ἔξω βάλλειν τὸν φόβον.
because-of the(-fact) the perfect love out to-cast the fear
ὧν καταλέγειν τὴν ἀρετὴν καὶ τὴν ἐφ᾽ ἑκάστῃ βασάνῳ 10.4
of-whom to-list the virtue and the in each torture
ἀνδρείαν, τίς ἂν ἀρκέσειε λόγος; ἀνέσεως γὰρ οὔσης
courage what — would-suffice word license for being
ἅπασι τοῖς βουλομένοις ἐνυβρίζειν, οἱ μὲν ξύλοις
to-all the(-ones) wishing to-insult some indeed with-clubs
ἔπαιον, ἕτεροι δὲ ῥάβδοις, ἄλλοι δὲ μάστιξιν, ἕτεροι δὲ
beat others and with-rods others and with-scourges others and
πάλιν ἱμᾶσιν, ἄλλοι δὲ σχοινίοις.
again with-thongs others and with-ropes
καὶ ἦν ἡ θέα τῶν αἰκισμῶν ἐνηλλαγμένη, καὶ πολλὴν τὴν 10.5
and was the sight of-the tortures varied and much the
ἐν αὐτῇ κακίαν ἔχουσα. οἱ μὲν γὰρ ὀπίσω τὼ χεῖρε
in it wickedness having some indeed for behind the(-two) hands
δεθέντες περὶ τὸ ξύλον ἐξηρτῶντο, καὶ μαγγάνοις τισὶ
bound around the wood were-hung and by-machines some
διετείνοντο πᾶν μέλος, εἶθ᾽ οὕτως διὰ παντὸς τοῦ σώματος
were-stretched every limb then thus over all the body
ἐπῆγον ἐκ κελεύσεως οἱ βασανισταί, οὐ καθάπερ τοῖς
applied(-them) from command the torturers not as for-the
φονεῦσιν ἐπὶ τῶν πλευρῶν μόνον, ἀλλὰ καὶ τῆς γαστρὸς
murderers on the sides only but also on-the belly
καὶ κνημῶν καὶ παρειῶν τοῖς ἀμυντηρίοις ἐκόλαζον· ἕτεροι
and shins and cheeks with-the instruments punished others
δὲ ἀπὸ τῆς στοᾶς μιᾶς χειρὸς ἐξηρτημένοι ἠωροῦντο, πάσης
and from the portico by-one hand hung were-suspended than-every

ἀλγηδόνος δεινοτέραν τὴν ἀπὸ τῶν ἄρθρων καὶ μελῶν
pain more-terrible the from the joints and limbs
τάσιν ἔχοντες· ἄλλοι δὲ πρὸς τοῖς κίοσιν ἀντιπρόσωποι
stretching having others and against the pillars face-forward
ἐδοῦντο, οὐ βεβηκόσι τοῖς ποσὶ, τῷ δὲ βάρει τοῦ σώματος
were-bound not standing on-the feet by-the but weight of-the body
βιαζομένων μετὰ τάσεως ἀνελκομένων τῶν δεσμῶν.
being-forced with tension being-pulled-up the bonds

10.6 καὶ τοῦθ' ὑπέμενον, οὐκ ἐφ' ὅσον προσδιελέγετο οὐδ'
and this they-endured not for as-long-as he-was-conversing nor
αὐτοῖς ἐσχόλαζεν ὁ ἡγεμὼν, ἀλλὰ μονονουχὶ δι' ὅλης
with-them was-occupied the governor but all-but through whole
τῆς ἡμέρας. ὅτε γὰρ καὶ ἐφ' ἑτέρους μετέβαινε, τοῖς
the day when for also to others he-passed to-the
προτέροις κατελίμπανεν ἐφεδρεύειν τοὺς τῇ ἐξουσίᾳ
former he-left to-lie-in-wait the(-ones) to-the authority
αὐτοῦ ὑπηρετουμένους, εἴ πού τις ἡττηθεὶς τῶν
his serving if somewhere anyone overcome by-the
βασάνων ἐνδιδόναι ἐδόκει, ἀφειδῶς δὲ κελεύων καὶ τοῖς
tortures to-give-in seemed unsparingly and ordering also to-the
δεσμοῖς προσιέναι, καὶ μετὰ ταῦτα ψυχορραγοῦντας
bonds to-approach and after these-things dying
αὐτοὺς κατατιθεμένους εἰς τὴν γῆν ἕλκεσθαι·
them laid-down onto the ground to-be-dragged

10.7 οὐ γὰρ εἶναι κἂν μέρος φροντίδος αὐτοῖς περὶ ἡμῶν, ἀλλ'
not for to-be even (a)-part of-care to-them about us but
οὕτω καὶ διανοεῖσθαι καὶ πράττειν, ὡς μηκέτ' ὄντων, ταύτην
so both to-think and to-act as no-longer being(-men) this
δευτέραν ἐπὶ ταῖς πληγαῖς τῶν ὑπεναντίων ἐφευρόντων.
second besides the blows the adversaries having-devised

ἦσαν δὲ οἱ καὶ μετὰ τοὺς αἰκισμοὺς ἐπὶ τοῦ ξύλου 10.8
were and the(-ones) also after the tortures on the wood
κείμενοι διὰ τῶν τεσσάρων ὀπῶν διατεταμένοι ἄμφω
lying through the four holes stretched both
τὼ πόδε, ὡς καὶ κατ᾽ ἀνάγκην αὐτοὺς ἐπὶ τοῦ
the(-two) feet so-that also of necessity them on the
ξύλου ὑπτίους εἶναι, μὴ δυναμένους διὰ τὸ ἔναυλα τὰ
wood on-their-backs to-be not being-able because-of the fresh the
τραύματα ἀπὸ τῶν πληγῶν καθ᾽ ὅλου τοῦ σώματος ἔχειν·
wounds from the blows over whole the body to-have
ἕτεροι δὲ εἰς τοὔδαφος ῥιφέντες ἔκειντο ὑπὸ τῆς τῶν
others and on the-ground thrown lay by the of-the
βασάνων ἀθρόας προσβολῆς, δεινοτέραν τὴν ὄψιν τῆς
tortures massed attack more-terrible the sight than-the
ἐνεργείας τοῖς ὁρῶσι παρέχοντες, ποικίλας καὶ διαφόρους
deed to-the(-ones) seeing presenting various and different
ἐν τοῖς σώμασι φέροντες τῶν βασάνων τὰς ἐπινοίας.
in the bodies bearing of-the tortures the devices
τούτων οὕτως ἐχόντων οἱ μὲν ἐναπέθνησκον ταῖς 10.9
these(-things) thus being some indeed died-in the
βασάνοις, τῇ καρτερίᾳ καταισχύναντες τὸν ἀντίπαλον,
tortures by-the endurance having-shamed the adversary
οἱ δὲ ἡμιθνῆτες ἐν τῷ δεσμωτηρίῳ συγκλειόμενοι μετ᾽
others and half-dead in the prison shut-up after
οὐ πολλὰς ἡμέρας ταῖς ἀλγηδόσι συνεχόμενοι ἐτελειοῦντο,
not many days by-the pains held-fast were-perfected
οἱ δὲ λοιποὶ τῆς ἀπὸ τῆς θεραπείας ἀνακτήσεως
others and remaining the from the care recovery
τυχόντες τῷ χρόνῳ καὶ τῇ τῆς φυλακῆς διατριβῇ
having-obtained in-the time and by-the of-the prison stay
θαρσαλεώτεροι ἐγίνοντο.
more-courageous became

10.10 οὕτω γοῦν ἡνίκα προστέτακτο αἱρέσεως κειμένης, ἢ
thus at-any-rate when it-had-been-ordered (a)-choice lying either
ἐφαψάμενον τῆς ἐναγοῦς θυσίας ἀνενόχλητον εἶναι, τῆς
having-touched the accursed sacrifice untroubled to-be the
ἐπαράτου ἐλευθερίας παρ᾽ αὐτῶν τυχόντα, ἢ μὴ θύοντα
accursed freedom from them having-obtained or not sacrificing
τὴν ἐπὶ θανάτῳ δίκην ἐκδέχεσθαι, οὐδὲν μελλήσαντες
the to death penalty to-receive not having-delayed
ἀσμένως ἐπὶ τὸν θάνατον ἐχώρουν· ᾔδεσαν γὰρ τὰ
gladly to the death they-went they-knew for the(-things)
ὑπὸ τῶν ἱερῶν γραφῶν ἡμῖν προορισθέντα. ὁ γὰρ
by the sacred scriptures for-us foreordained the(-one) for
θυσιάζων, φησὶ θεοῖς ἑτέροις ἐξολοθρευθήσεται, καί· ὅτι
sacrificing he-says to-gods other will-be-utterly-destroyed and that
οὐκ ἔσονταί σοι θεοὶ ἕτεροι πλὴν ἐμοῦ."
not shall-be to-you gods other except me

10.11 τοιαῦται τοῦ ὡς ἀληθῶς φιλοσόφου τε ὁμοῦ καὶ φιλοθέου
such of-the as truly philosopher both at-once and God-loving
μάρτυρος αἱ φωναὶ, ἃς πρὸ τῆς τελευταίας ἀποφάσεως
martyr the words which before the last sentence
ὑπὸ τὴν δεσμωτικὴν ἔθ᾽ ὑπάρχων τάξιν τοῖς κατὰ τὴν
under the prisoner's still being rank to-the in the
αὐτοῦ παροικίαν ἀδελφοῖς ἐπεστάλκει, ἅμα μὲν τὰ
his parish brothers he-had-written at-once indeed the(-things)
ἐν οἷς ἦν ἀνατιθέμενος, ἅμα δὲ καὶ παρορμῶν αὐτοὺς
in which he-was setting-forth at-once and also urging them
ἐπὶ τὸ ἀπρὶξ ἔχεσθαι καὶ μετ᾽ αὐτὸν ὅσον οὔπω
to the tenaciously to-hold-to even after him as-much-as not-yet
τελειωθησόμενον τῆς ἐν Χριστῷ θεοσεβείας.
about-to-be-perfected the in Christ godliness

ἀλλὰ τί χρὴ πολλὰ λέγειν, καὶ καινοτέρας ἐπὶ καινοτέραις 10.12
but why must many(-things) to-say and newer upon newer
τῶν ἀνὰ τὴν οἰκουμένην θεοπρεπῶν μαρτύρων ἀθλήσεις
of-the throughout the inhabited-world godly martyrs contests
παρατίθεσθαι, καὶ μάλιστα τῶν οὐκέτι μὲν κοινῷ
to-set-beside and most of-the(-ones) no-longer indeed by-common
νόμῳ, πολέμου δὲ τρόπῳ πεπολιορκημένων;
law of-war but in-the-way besieged
Ἤδη γοῦν ὅλην Χριστιανῶν πολίχνην αὔτανδρον 11.1
already at-any-rate (a)-whole of-Christians little-town with-its-men
ἀμφὶ τὴν Φρυγίαν ἐν κύκλῳ περιβαλόντες ὁπλῖται, πῦρ
around — Phrygia in (a)-circle having-surrounded hoplites fire
τε ὑφάψαντες, κατέφλεξαν αὐτοὺς ἅμα νηπίοις καὶ
and having-kindled burned them together-with infants and
γυναιξί, τὸν ἐπὶ πάντων θεὸν ἐπιβοωμένους· ὅτι δὴ
women the over all God calling-upon because indeed
πανδημεὶ πάντες οἱ τὴν πόλιν οἰκοῦντες, λογιστής τε
in-a-body all the(-ones) the city inhabiting (the)-curator both
αὐτὸς καὶ στρατηγὸς σὺν τοῖς ἐν τέλει πᾶσι καὶ ὅλῳ
himself and general with the(-men) in office all and whole
δήμῳ, Χριστιανοὺς σφᾶς ὁμολογοῦντες, οὐδ' ὁπωστιοῦν
people Christians themselves confessing not-even in-any-way
τοῖς προστάττουσιν εἰδωλολατρεῖν ἐπειθάρχουν.
to-the(-ones) ordering to-commit-idolatry obeyed
καί τις ἕτερος Ῥωμαϊκῆς ἀξίας ἐπειλημμένος, Ἄδαυκτος 11.2
and some other of-Roman rank having-attained Adauctus
ὄνομα, γένος τῶν παρ' Ἰταλοῖς ἐπισήμων, διὰ
by-name by-race of-the(-men) among Italians notable through
πάσης διελθὼν ἀνὴρ τῆς παρὰ βασιλεῦσι τιμῆς, ὡς
every having-passed (a)-man of-the with emperors honor so-that
καὶ τὰς καθόλου διοικήσεις τῆς παρ' αὐτοῖς καλουμένης
also the general administrations of-the among them called

μαγιστρότητός τε καὶ καθολικότητος ἀμέμπτως διελθεῖν, ἐπὶ
magistracy both and of-the-general-treasury blamelessly to-go-through upon
πᾶσι τούτοις διαπρέψας τοῖς ἐν θεοσεβείᾳ κατορθώμασι
all these having-been-distinguished in-the in godliness achievements
καὶ ταῖς εἰς τὸν Χριστὸν τοῦ θεοῦ ὁμολογίαις, τῷ
and in-the toward — Christ — of-God confessions with-the
τοῦ μαρτυρίου διαδήματι κατεκοσμήθη, ἐπ' αὐτῆς τῆς τοῦ
of-the martyrdom diadem was-adorned in very the of-the
καθολικοῦ πράξεως τὸν ὑπὲρ εὐσεβείας ὑπομείνας ἀγῶνα.
treasurer office the for piety having-endured contest

12.1 Τί με χρὴ νῦν ἐπ' ὀνόματος τῶν λοιπῶν μνημονεύειν,
why me must now by name of-the rest to-mention
ἢ τὸ πλῆθος τῶν ἀνδρῶν ἀριθμεῖν, ἢ τὰς πολυτρόπους
or the multitude of-the men to-count or the manifold
αἰκίας ἀναζωγραφεῖν τῶν θαυμασίων Χριστοῦ μαρτύρων,
tortures to-repaint of-the wonderful of-Christ martyrs
τοτὲ μὲν πέλυξιν ἀναιρουμένων, οἷα γέγονε τοῖς
at-one-time indeed with-axes being-killed such-as happened to-the(-ones)
ἐπ' Ἀραβίας, τοτὲ δὲ τὰ σκέλη καταγνυμένων, οἷα
in Arabia at-another-time and the legs being-broken such-as
τοῖς ἐν Καππαδοκίᾳ συμβέβηκε, καὶ ποτὲ μὲν κατὰ
to-the(-ones) in Cappadocia has-happened and at-times indeed by
κεφαλῆς ἐκ τοῖν ποδοῖν εἰς ὕψος ἀναρτωμένων, καὶ
(the)-head from the(-two) feet to height being-hung and
μαλθακοῦ πυρὸς ὑποκαιομένου τῷ παραπεμπομένῳ καπνῷ
gentle fire being-lit-beneath by-the conveyed smoke
τῆς φλεγομένης ὕλης ἀποπνιγομένων, οἷα τοῖς ἐν
of-the burning wood being-suffocated such-as to-the(-ones) in
Μέσῃ τῶν ποταμῶν ἐπήχθη, ποτὲ δὲ ῥῖνας καὶ ὦτα καὶ
Middle(-land) of-the rivers was-inflicted at-times and noses and ears and

χεῖρας ἀκρωτηριαζομένων, τά τε λοιπὰ τοῦ σώματος μέλη
hands being-mutilated the both remaining of-the body limbs
καὶ μέρη κρεουργουμένων, οἷα τὰ ἐπ᾽ Ἀλεξανδρείας ἦν;
and parts being-butchered such-as the(-things) at Alexandria were
τί δεῖ τῶν ἐπ᾽ Ἀντιοχείας ἀναζωπυρεῖν τὴν μνήμην, 12.2
what must of-the(-ones) at Antioch to-rekindle the memory
ἐσχάραις πυρὸς οὐκ εἰς θάνατον, ἀλλ᾽ ἐπὶ μακρᾷ τιμωρίᾳ
on-gridirons of-fire not for death but for long punishment
κατοπτωμένων, ἑτέρων τε θᾶττον τὴν δεξιὰν αὐτῶν
being-roasted others and sooner the right-hand their
πυρὶ καθιέντων ἢ τῆς ἐναγοῦς θυσίας ἐφαπτομένων;
into-fire letting-down than the accursed sacrifice touching
ὧν τινὲς τὴν πεῖραν φεύγοντες, πρὶν ἁλῶναι καὶ
of-whom some the trial fleeing before to-be-caught and
εἰς χεῖρας τῶν ἐπιβούλων ἐλθεῖν, ἄνωθεν ἐξ ὑψηλῶν
into hands of-the plotters to-come from-above from lofty
δωμάτων ἑαυτοὺς κατεκρήμνισαν, τὸν θάνατον ἅρπαγμα
houses themselves threw-down the death (a)-godsend
θέμενοι τῆς τῶν δυσσεβῶν μοχθηρίας.
having-reckoned from-the of-the impious wickedness
καί τις ἱερὰ καὶ θαυμασία τὴν τῆς ψυχῆς ἀρετὴν, τὸ 12.3
and a-certain holy and wonderful in-the of-the soul virtue in-the
δὲ σῶμα γυνὴ, καὶ τὰ ἄλλα τῶν ἐπ᾽ Ἀντιοχείας
but body (a)-woman and in-the other(-things) of-the(-women) at Antioch
πλούτῳ καὶ γένει καὶ εὐδοξίᾳ παρὰ πᾶσι βεβοημένη,
for-wealth and for-family and for-good-repute among all celebrated
παίδων ξυνωρίδα παρθένων, τῇ τοῦ σώματος ὥρᾳ καὶ
of-children (a)-pair of-virgins in-the of-the body bloom and
ἀκμῇ διαπρεπουσῶν, θεσμοῖς εὐσεβείας ἀναθρεψαμένη,
prime excelling in-the-laws of-piety having-brought-up
ἐπειδὴ πολὺς ὁ περὶ αὐτὰς κινούμενος φθόνος πάντα
since great the about them moving envy every

τρόπον ἀνιχνεύων λανθανούσας περιειργάζετο, εἶτα ἐπ᾽
manner tracking-down hidden(-ones) was-busy then in
ἀλλοδαπῆς αὐτὰς διατρίβειν μαθὼν πεφροντισμένως ἐπὶ
(a)-foreign(-land) them staying having-learned carefully to
τὴν Ἀντιόχειαν ἐκάλει, δικτύων δὲ ἤδη στρατιωτικῶν
— Antioch called(-them) of-nets and already military
εἴσω περιβέβληντο, ἐν ἀμηχάνοις ἑαυτήν τε καὶ τὰς
within they-had-been-encompassed in helplessness herself both and the
παῖδας θεασαμένη, καὶ τὰ μέλλοντα ἐξ ἀνθρώπων
daughters having-seen and the(-things) about-to(-come) from men
δεινὰ τῷ λόγῳ παραθεῖσα, τό τε πάντων δεινῶν
terrible(-things) in-the reason having-set-forth the both than-all terrible(-things)
ἀφορητότερον, πορνείας ἀπειλὴν, μηδὲ ἄκροις ὠσὶν
more-unbearable of-fornication (the)-threat not-even with-tips of-ears
ὑπομεῖναι δεῖν ἀκοῦσαι, ἑαυτῇ τε καὶ ταῖς κόραις
to-endure (it-is)-necessary to-hear herself both and the girls
παρακελευσαμένη, ἀλλὰ καὶ τὸ προδοῦναι τὰς ψυχὰς τῇ
having-exhorted but also the to-betray the souls to-the
τῶν δαιμόνων δουλείᾳ πάντων ὑπάρχειν θανάτων καὶ
of-the demons slavery than-all to-be deaths and
πάσης χεῖρον ἀπωλείας φήσασα, μίαν τούτων ἁπάντων
than-every worse destruction having-said one of-these all
εἶναι λύσιν ὑπετίθετο, τὴν ἐπὶ τὸν κύριον καταφυγήν·
to-be release she-suggested the to the Lord refuge

12.4 κἄπειτα ὁμοῦ τὴν γνώμην συνθέμεναι, τά τε σώματα
and-then together the resolve having-agreed the and bodies
περιστείλασαι κοσμίως τοῖς περιβλήμασιν, ἐπ᾽ αὐτῆς
having-wrapped decently with-the garments in very
μέσης γενόμεναι τῆς ὁδοῦ, βραχύ τι τοὺς φύλακας
(the)-middle having-come of-the road little somewhat the guards

εἰς ἀναχώρησιν ὑποπαραιτησάμεναι, ἐπὶ παραρρέοντα
for withdrawal having-begged-leave into (a)-flowing-by
ποταμὸν ἑαυτὰς ἠκόντισαν.
river themselves they-hurled
αἵδε μὲν οὖν ἑαυτάς· ἄλλην δ' ἐπ' αὐτῆς Ἀντιοχείας 12.5
these indeed then themselves another but in very Antioch
ξυνωρίδα παρθένων τὰ πάντα θεοπρεπῶν καὶ ἀληθῶς
pair of-virgins in-the all(-things) godly and truly
ἀδελφῶν, ἐπιδόξων μὲν τὸ γένος, λαμπρῶν δὲ τὸν
sisters illustrious indeed in-the family brilliant and in-the
βίον, νέων τοὺς χρόνους, ὡραίων τὸ σῶμα, σεμνῶν τὴν
life young in-the years beautiful in-the body chaste in-the
ψυχήν, εὐσεβῶν τὸν τρόπον, θαυμαστῶν τὴν σπουδήν, ὡς
soul pious in-the manner wonderful in-the zeal as-if
ἂν μὴ φερούσης τῆς γῆς τὰ τοιαῦτα βαστάζειν, θαλάττῃ
— not bearing the earth the such(-ones) to-carry into-(the)-sea
ῥίπτειν ἐκέλευον οἱ τῶν δαιμόνων θεραπευταί. ταῦτα
to-throw ordered the(-men) of-the demons servants these-things
μὲν οὖν παρὰ τοῖσδε.
indeed then among these
τὰ φρικτὰ δὲ ἀκοαῖς κατὰ τὸν Πόντον ἔπασχον 12.6
the(-things) dreadful and to-ears in — Pontus suffered
ἕτεροι, καλάμοις ὀξέσι τοῖν χεροῖν ἐξ ἄκρων ὀνύχων
others with-reeds sharp of-the(-two) hands from (the)-tips of-the-nails
τοὺς δακτύλους διαπειρόμενοι, καὶ ἄλλοι πυρὶ μολίβδου
the fingers being-pierced and others with-fire of-lead
διατακέντος βρασσούσῃ καὶ πεπυρακτωμένῃ τῇ ὕλῃ τὰ
melted boiling and red-hot with-the stuff the
νῶτα καταχεόμενοι, καὶ τὰ μάλιστα ἀναγκαιότατα τοῦ
backs being-poured-upon and the most most-necessary(-parts) of-the
σώματος κατοπτώμενοι·
body being-roasted

12.7 διά τε τῶν ἀπορρήτων ἕτεροι μελῶν τε καὶ σπλάγχνων
through and the secret others limbs both and bowels
αἰσχρὰς καὶ ἀσυμπαθεῖς καὶ οὐδὲ λόγῳ ῥητὰς ὑπέμενον
shameful and pitiless and not-even in-word utterable endured
πάθας, ἃς οἱ γενναῖοι καὶ νόμιμοι δικασταὶ, τὴν
sufferings which the noble and lawful judges the
σφῶν ἐπιδεικνύμενοι δεινότητα, ὥσπερ τινὰ σοφίας
their displaying cleverness as some of-wisdom
ἀρετὴν φιλοτιμότερον ἐπενόουν, ἀεὶ ταῖς καινότερον
virtue more-ambitiously devised always with-the more-newly
ἐφευρισκομέναις αἰκίαις, ὡσπερεὶ ἐν ἀγῶνος βραβείοις,
invented tortures as-if in of-contest prizes
ἀλλήλους ὑπερεξάγειν διαμιλλώμενοι.
one-another to-surpass vying

12.8 τὰ δ᾽ οὖν τῶν συμφορῶν ἔσχατα, ὅτε δὴ λοιπὸν
the(-things) and then of-the calamities last when indeed henceforth
ἀπειρηκότες ἐπὶ τῇ τῶν κακῶν ὑπερβολῇ καὶ πρὸς τὸ
having-wearied at the of-the evils excess and for the
κτείνειν ἀποκαμόντες, πλησμονήν τε καὶ κόρον τῆς τῶν
to-kill having-grown-tired satiety both and surfeit of-the of-the
αἱμάτων ἐκχύσεως ἐσχηκότες, ἐπὶ τὸ νομιζόμενον
bloods shedding having-had to the(-thing) considered
αὐτοῖς χρηστὸν καὶ φιλάνθρωπον ἐτρέποντο, ὡς μηδὲν
by-them kind and humane they-turned so-that nothing
μὲν ἔτι δοκεῖν δεινὸν καθ᾽ ἡμῶν περιεργάζεσθαι·
indeed still to-seem terrible against us to-be-busy

12.9 μὴ γὰρ καθήκειν φασὶν αἵμασιν ἐμφυλίοις μιαίνειν τὰς
not for to-be-fitting they-say with-blood kindred to-pollute the
πόλεις, μηδ᾽ ἐπ᾽ ὠμότητι τῇ ἀνωτάτω διαβάλλειν τὴν
cities nor with cruelty the highest to-slander the
τῶν κρατούντων ἀρχὴν, εὐμενῆ τοῖς πᾶσιν ὑπάρχουσαν
of-the rulers rule kindly to-the all being

καὶ πραεῖαν, δεῖν δὲ μᾶλλον τῆς φιλανθρώπου καὶ
and gentle to-be-necessary but rather of-the humane and
βασιλικῆς ἐξουσίας εἰς πάντας ἐκτείνεσθαι τὴν εὐεργεσίαν,
imperial power to all to-be-extended the benefaction
μηκέτι θανάτῳ κολαζομένους· λελύσθαι γὰρ αὐτῶν
no-longer with-death being-punished to-have-been-released for their
καθ' ἡμῶν ταύτην τὴν τιμωρίαν, διὰ τὴν τῶν
against us this the punishment because-of the of-the
κρατούντων φιλανθρωπίαν.
rulers humanity
τηνικαῦτα ὀφθαλμοὺς ἐξορύττεσθαι καὶ τοῖν σκελοῖν 12.10
then eyes to-be-gouged-out and of-the(-two) legs
πηροῦσθαι θάτερον προσετάττετο. ταῦτα γὰρ ἦν αὐτοῖς τὰ
to-be-maimed one it-was-ordered these-things for were their the
φιλάνθρωπα, καὶ τῶν καθ' ἡμῶν τιμωριῶν τὰ κουφότατα,
humane(-acts) and of-the against us punishments the lightest
ὥστε ἤδη ταύτης ἕνεκα τῆς τῶν ἀσεβῶν φιλανθρωπίας
so-that already this for-the-sake the of-the impious humanity
οὐκέτ' εἶναι δυνατὸν ἐξειπεῖν τὸ πλῆθος τῶν ὑπὲρ
no-longer to-be possible to-tell the multitude of-the(-ones) beyond
πάντα λόγον τοὺς μὲν δεξιοὺς ὀφθαλμοὺς ξίφει πρότερον
all reason the indeed right eyes with-sword first
ἐκκοπτομένων, καὶ μετὰ τὴν ἐκκέντησιν τούτους πυρὶ
being-cut-out and after the gouging these with-fire
καυτηριαζομένων, τοὺς δὲ λαιοὺς πόδας κατὰ τῶν ἀγκυλῶν
being-cauterized the and left feet at the hamstrings
αὖθις καυτῆρσιν ἀχρειουμένων, μετά τε ταῦτα τοῖς
again with-branding-irons being-disabled after both these-things to-the
κατ' ἐπαρχίαν χαλκοῦ μετάλλοις οὐχ ὑπηρεσίας τοσοῦτον,
in (the)-province of-copper mines not of-service so-much
ὅσον κακώσεως καὶ ταλαιπωρίας ἕνεκεν καταδικαζομένων,
as of-ill-treatment and wretchedness for-the-sake being-condemned

πρὸς ἅπασί τε τούτοις ἄλλων ἄλλοις ἀγῶσιν, οὓς μηδὲ
besides all and these others in-other contests which not-even
καταλέγειν δυνατόν, (νικᾷ γὰρ πάντα λόγον τὰ κατ'
to-list (is)-possible conquers for all word the in
αὐτοὺς ἀνδραγαθήματα), περιπεπτωκότων.
them brave-deeds having-fallen-into

12.11 ἐν δὴ τούτοις ἐφ' ὅλης τῆς οἰκουμένης διαλάμψαντες οἱ
in indeed these over whole the inhabited-world having-shone the
μεγαλοπρεπεῖς τοῦ Χριστοῦ μάρτυρες τοὺς μὲν ἁπανταχοῦ
magnificent — of-Christ martyrs the(-ones) indeed everywhere
τῆς ἀνδρείας αὐτῶν ἐπόπτας εἰκότως κατεπλήξαντο, τῆς
of-the courage their spectators fittingly astonished of-the
δὲ τοῦ σωτῆρος ἡμῶν θείας ὡς ἀληθῶς καὶ ἀπορρήτου
and of-the savior our divine as truly and secret
δυνάμεως ἐμφανῆ δι' ἑαυτῶν τὰ τεκμήρια παρεστήσαντο.
power manifest through themselves the proofs presented
ἑκάστου μὲν οὖν ἐπ' ὀνόματος μνημονεύειν μακρὸν ἂν
of-each indeed then by name to-make-mention long —
εἴη, μή τί γε τῶν ἀδυνάτων,
it-would-be not anything at-least of-the impossible(-things)

Eusebius names the martyred clergy: Anthimus of Nicomedia, the presbyter Lucian, Tyrannion of Tyre, Zenobius, Silvanus, Peter of Alexandria, and Pamphilus. He recalls the peace before the war, then the abdications, the rule divided, Constantius' kindly reign and death, and Constantine's rise. Maxentius at Rome and Maximin in the East ruled by lust, sorcery, and plunder; a Roman lady killed herself rather than yield.

τῶν δὲ κατὰ τὰς ἐπισήμους πόλεις μαρτυρησάντων 13.1
of-the and in the notable cities having-been-martyred
ἐκκλησιαστικῶν ἀρχόντων πρῶτος ἡμῖν ἐν εὐσεβῶν στήλαις
ecclesiastical rulers first for-us on of-pious-men pillars
τῆς Χριστοῦ βασιλείας ἀναγορευέσθω μάρτυς ἐπίσκοπος τῆς
of-the of-Christ kingdom let-be-proclaimed (a)-martyr (the)-bishop of-the
Νικομηδέων πόλεως, τὴν κεφαλὴν ἀποτμηθεὶς, Ἄνθιμος.
of-Nicomedians city the head having-been-cut-off Anthimus
τῶν δ' ἐπ' Ἀντιοχείας μαρτύρων τὸν πάντα βίον ἄριστος 13.2
of-the and at Antioch martyrs the whole life best
πρεσβύτερος τῆς αὐτόθι παροικίας Λουκιανὸς, ἐν τῇ
presbyter of-the there parish Lucian in —
Νικομηδείᾳ καὶ αὐτὸς, βασιλέως ἐπιπαρόντος, τὴν οὐράνιον
Nicomedia also himself (the)-emperor being-present the heavenly
τοῦ Χριστοῦ βασιλείαν λόγῳ πρότερον δι' ἀπολογίας,
of-the of-Christ kingdom in-word first through (a)-defense
εἶτα δὲ καὶ ἔργοις ἀνακηρύξας.
then and also in-deeds having-proclaimed
τῶν δ' ἐπὶ Φοινίκης μαρτύρων γένοιντ' ἂν ἐπισημότατοι 13.3
of-the and in Phoenicia martyrs would-be — most-notable
τὰ πάντα θεοφιλεῖς τῶν λογικῶν Χριστοῦ θρεμμάτων
in-the all(-things) God-loving of-the rational of-Christ flocks
ποιμένες, Τυραννίων ἐπίσκοπος τῆς κατὰ Τύρον ἐκκλησίας,
shepherds Tyrannion bishop of-the at Tyre church

πρεσβύτερός τε τῆς κατὰ Σιδῶνα Ζηνόβιος, καὶ ἔτι
presbyter and of-the(-church) at Sidon Zenobius and further
Σιλβανὸς τῶν ἀμφὶ τὴν Ἔμισαν ἐκκλησιῶν ἐπίσκοπος.
Silvanus of-the around — Emesa churches bishop

13.4 ἀλλ' οὗτος μὲν θηρίων βορὰ μεθ' ἑτέρων ἐπ' αὐτῆς
but this(-man) indeed of-beasts food with others in very
Ἐμίσης γενόμενος χοροῖς ἀνελήφθη μαρτύρων, τῶν
Emesa having-become in-choirs was-taken-up of-martyrs of-the(-ones)
δ' ἐπ' Ἀντιοχείας ἄμφω τὸν τοῦ θεοῦ λόγον διὰ τῆς
and at Antioch both the — of-God word through the
εἰς θάνατον ὑπομονῆς ἐδοξασάτην, ὁ μὲν θαλαττίοις
to death endurance glorified the(-one) indeed sea
παραδοθεὶς βυθοῖς, ὁ ἐπίσκοπος, ὁ δὲ ἰατρῶν
handed-over to-depths the bishop the(-other) and of-physicians
ἄριστος Ζηνόβιος ταῖς κατὰ τῶν πλευρῶν ἐπιτεθείσαις
best Zenobius in-the on the sides inflicted
αὐτῷ καρτερῶς ἐναποθανὼν βασάνοις.
on-him steadfastly having-died-in tortures

13.5 τῶν δ' ἐπὶ Παλαιστίνης μαρτύρων Σιλβανὸς, ἐπίσκοπος
of-the and in Palestine martyrs Silvanus bishop
τῶν ἀμφὶ τὴν Γάζαν ἐκκλησιῶν, κατὰ τὰ ἐν Φαινοῖ
of-the around — Gaza churches at the at Phaeno
χαλκοῦ μέταλλα σὺν ἑτέροις ἑνὸς δέουσι τὸν ἀριθμὸν
of-copper mines with others one lacking the number
τεσσαράκοντα τὴν κεφαλὴν ἀποτέμνεται, Αἰγύπτιοί τε
forty the head is-beheaded Egyptians and
αὐτόθι Πήλευς καὶ Νεῖλος ἐπίσκοποι μεθ' ἑτέρων τὴν
there Peleus and Nilus bishops with others the
διὰ πυρὸς ὑπέμειναν τελευτήν.
through fire endured end

καὶ τὸ μέγα δὲ κλέος τῆς Καισαρέων παροικίας ἐν 13.6
and the great and glory of-the of-Caesareans parish among
τούτοις ἡμῖν μνημονευέσθω Πάμφιλος πρεσβύτερος, τῶν
these by-us let-be-mentioned Pamphilus presbyter of-the(-men)
καθ' ἡμᾶς θαυμασιώτατος, οὗ τῶν ἀνδραγαθημάτων
in our(-time) most-wonderful of-whose of-the brave-deeds
τὴν ἀρετὴν κατὰ τὸν δέοντα καιρὸν ἀνεγράψαμεν.
the excellence at the needful time we-recorded
τῶν δ' ἐπ' Ἀλεξανδρείας καθ' ὅλης τε Αἰγύπτου καὶ 13.7
of-the and at Alexandria over whole and Egypt and
Θηβαΐδος διαπρεπῶς τελειωθέντων πρῶτος Πέτρος, αὐτῆς
Thebais illustriously perfected first Peter of-very
Ἀλεξανδρείας ἐπίσκοπος, θεῖόν τι χρῆμα διδασκάλων τῆς
Alexandria bishop divine some thing of-teachers of-the
ἐν Χριστῷ θεοσεβείας, ἀναγεγράφθω, καὶ τῶν σὺν αὐτῷ
in Christ godliness let-be-recorded and of-the with him
πρεσβυτέρων Φαῦστος καὶ Δῖος καὶ Ἀμμώνιος, τέλειοι
presbyters Faustus and Dius and Ammonius perfect
Χριστοῦ μάρτυρες, Φιλέας τε καὶ Ἡσύχιος καὶ Παχύμιος καὶ
of-Christ martyrs Phileas both and Hesychius and Pachymius and
Θεόδωρος, τῶν ἀμφὶ τὴν Αἴγυπτον ἐκκλησιῶν ἐπίσκοποι,
Theodorus of-the around — Egypt churches bishops
μυρίοι τε ἐπὶ τούτοις ἄλλοι διαφανεῖς, οἱ πρὸς τῶν κατὰ
countless and besides these others distinguished who by the in
χώραν καὶ τόπον παροικιῶν μνημονεύονται, ὧν ἀνὰ
(the)-country and place parishes are-remembered of-whom throughout
τὴν πᾶσαν οἰκουμένην ὑπὲρ τῆς εἰς τὸ θεῖον εὐσεβείας
the whole inhabited-world for the toward the divine piety
ἠγωνισμένων γραφῇ παραδιδόναι τοὺς ἄθλους, ἐπ' ἀκριβές τε
having-contended in-writing to-hand-down the contests to precision and
ἕκαστα τῶν περὶ αὐτοὺς συμβεβηκότων ἱστορεῖν, οὐχ
each(-thing) of-the(-things) about them having-happened to-relate not

ἡμέτερον, τῶν δ' ὄψει τὰ πράγματα παρειληφότων ἴδιον
ours of-the(-ones) but by-sight the events having-received own
ἂν γένοιτο. οἷς γε μὴν αὐτὸς παρεγενόμην, τούτους καὶ
— it-would-be whom at-least indeed myself I-was-present-with these also
τοῖς μεθ' ἡμᾶς γνωρίμους δι' ἑτέρας ποιήσομαι γραφῆς.
to-the(-ones) after us known through another I-shall-make writing

13.8 κατά γε μὴν τὸν παρόντα λόγον τὴν παλινῳδίαν τῶν
in at-least indeed the present account the recantation of-the(-things)
περὶ ἡμᾶς εἰργασμένων τοῖς εἰρημένοις ἐπισυνάψω,
about us done to-the(-things) said I-shall-join
τά τε ἐξ ἀρχῆς τοῦ διωγμοῦ συμβεβηκότα,
the(-things) and from (the)-beginning of-the persecution having-happened
χρησιμώτατα τυγχάνοντα τοῖς ἐντευξομένοις.
most-useful being for-the(-ones) about-to-read

13.9 τὰ μὲν οὖν πρὸ τοῦ καθ' ἡμῶν πολέμου τῆς
the(-things) indeed then before the against us war of-the
Ῥωμαίων ἡγεμονίας, ἐν ὅσοις δὴ χρόνοις τὰ
of-Romans government in as-many-as indeed times the(-dispositions)
τῶν ἀρχόντων φίλιά τε ἡμῖν ἦν καὶ εἰρηναῖα, ὁπόσης
of-the rulers friendly both to-us were and peaceful of-how-great
ἀγαθῶν εὐφορίας καὶ εὐετηρίας ἠξίωτο, τίς
of-good(-things) plenty and prosperity it-had-been-deemed-worthy what
ἂν ἐξαρκέσειε λόγος διηγήσασθαι; ὁπότε καὶ οἱ
— would-suffice word to-relate when also the(-men)
μάλιστα τῆς καθόλου κρατοῦντες ἀρχῆς, δεκαετηρίδας
most of-the universal ruling rule decennalia
καὶ εἰκοσαετηρίδας τῆς βασιλείας ἐκπλήσαντες, ἐν ἑορταῖς
and vicennalia of-the reign having-completed in feasts
καὶ πανηγύρεσι, φαιδροτάταις τε θαλίαις καὶ εὐφροσύναις
and festivals most-brilliant both banquets and festivities
μετὰ πάσης εὐσταθοῦς διετέλουν εἰρήνης.
with all stable continued peace

οὕτω δ᾽ αὐτοῖς ἀπαραποδίστως αὐξούσης καὶ ἐπὶ μέγα 13.10
thus and for-them unhindered increasing and to greatness
ὁσημέραι προϊούσης τῆς ἐξουσίας, ἀθρόως τῆς πρὸς ἡμᾶς
daily advancing the power all-at-once of-the toward us
εἰρήνης μεταθέμενοι, πόλεμον ἄσπονδον ἐγείρουσιν, οὔπω
peace having-changed war implacable they-raise not-yet
δ᾽ αὐτοῖς τῆς τοιασδὶ κινήσεως δεύτερον ἔτος πεπλήρωτο,
and for-them of-the such movement second year had-been-completed
καί τι περὶ τὴν ὅλην ἀρχὴν νεώτερον γεγονὸς τὰ
and some about the whole rule newer(-thing) having-happened the
πάντα πράγματα ἀνατρέπει.
all affairs overturns
νόσου γὰρ οὐκ αἰσίας τῷ πρωτοστάτῃ τῶν εἰρημένων 13.11
of-disease for not auspicious on-the foremost of-the(-men) said
ἐπισκηψάσης, ὑφ᾽ ἧς δὴ καὶ τὰ τῆς διανοίας εἰς
having-fallen by which indeed also the(-faculties) of-the mind into
ἔκστασιν αὐτῷ παρήγετο, σὺν τῷ μετ᾽ αὐτὸν δευτερείοις
derangement for-him were-led-away with the(-one) after him with-second-rank
τετιμημένῳ τὸν δημώδη καὶ ἰδιωτικὸν ἀπολαμβάνει βίον·
honored the common and private takes-up life
οὔπω δὲ ταῦτ᾽ αὐτῷ οὕτω πέπρακτο, καὶ διχῇ τὰ
not-yet and these-things by-him thus had-been-done and in-two the
πάντα τῆς ἀρχῆς διαιρεῖται, πρᾶγμα μηδ᾽ ἄλλοτέ πω
all of-the rule is-divided (a)-thing not-even at-another-time yet
πάλαι γεγονὸς μνήμῃ παραδεδομένον.
of-old having-happened to-memory handed-down
χρόνου δ᾽ οὐ πλείστου μεταξὺ γενομένου βασιλεὺς 13.12
of-time and not much between having-passed (the)-emperor
Κωνστάντιος, τὸν πάντα βίον πραότατα καὶ τοῖς ὑπηκόοις
Constantius the whole life most-gently and to-the subjects
εὐνοϊκώτατα, τῷ τε θείῳ λόγῳ προσφιλέστατα διαθέμενος,
most-benevolently to-the and divine word most-affectionately disposed

παῖδα γνήσιον Κωνσταντῖνον αὐτοκράτορα καὶ σεβαστὸν
(a)-son legitimate Constantine emperor and Augustus
ἀνθ' ἑαυτοῦ καταλιπὼν, κοινῷ φύσεως νόμῳ τελευτᾷ
in-place-of himself having-left by-common of-nature law ends
τὸν βίον, πρῶτός τε ἐν θεοῖς ἀνηγορεύετο παρ' αὐτοῖς,
the life first and among gods was-proclaimed by them
ἁπάσης μετὰ θάνατον, ὅση βασιλεῖ τις ἂν ὠφείλετο,
of-all after death as-much-as to-(an)-emperor anyone — was-owed
τιμῆς ἠξιωμένος, χρηστότατος καὶ ἠπιώτατος βασιλέων,
honor deemed-worthy most-excellent and gentlest of-emperors
13.13 ὃς δὴ καὶ μόνος τῶν καθ' ἡμᾶς ἐπαξίως τῆς
who indeed also alone of-the(-ones) in our(-time) worthily of-the
ἡγεμονίας τὸν πάντα τῆς ἀρχῆς διατελέσας χρόνον, καὶ
government the whole of-the rule having-continued time and
τἄλλα τοῖς πᾶσι δεξιώτατον καὶ εὐεργετικώτατον
in-other(-things) to-the all most-kind and most-beneficent
παρασχὼν ἑαυτὸν, τοῦ δὲ καθ' ἡμῶν πολέμου μηδαμῶς
having-shown himself in-the but against us war in-no-way
ἐπικοινωνήσας, ἀλλὰ καὶ τοὺς ὑπ' αὐτὸν θεοσεβεῖς
having-shared but also the(-ones) under him God-fearing
ἀβλαβεῖς καὶ ἀνεπηρεάστους φυλάξας, καὶ μήτε τῶν
unharmed and unabused having-kept and neither of-the
ἐκκλησιῶν τοὺς οἴκους καθελὼν, μήθ' ἕτερόν τι καθ'
churches the houses having-pulled-down nor other anything against
ἡμῶν καινουργήσας, τέλος εὐδόκιμον καὶ τρισμακάριον
us having-innovated (an)-end well-esteemed and thrice-blessed
ἀπείληφε τοῦ βίου, μόνος ἐπὶ τῆς αὐτοῦ βασιλείας
received of-the life alone in the his reign
εὐμενῶς καὶ ἐπιδόξως ἐπὶ διαδόχῳ γνησίῳ παιδὶ, πάντα
kindly and gloriously upon (a)-successor legitimate son in-all(-respects)
σωφρονεστάτῳ τε καὶ εὐσεβεστάτῳ, τελευτήσας.
most-prudent both and most-pious having-died

τούτου παῖς Κωνσταντῖνος εὐθὺς ἀρχόμενος, βασιλεὺς 13.14
his son Constantine straightway beginning emperor
τελεώτατος καὶ σεβαστὸς πρὸς τῶν στρατοπέδων, καὶ
most-perfect and Augustus by the armies and
ἔτι πολὺ τούτων πρότερον πρὸς αὐτοῦ τοῦ παμβασιλέως
still much than-these earlier by very the king-of-all
θεοῦ ἀναγορευθεὶς, ζηλωτὴν ἑαυτὸν τῆς πατρικῆς περὶ
God having-been-proclaimed (an)-emulator himself of-the paternal toward
τὸν ἡμέτερον λόγον εὐσεβείας κατεστήσατο. καὶ οὗτος
the our word piety established and this(-man)
μὲν τοιοῦτος. Λικίννιος δὲ ἐπὶ τούτοις ὑπὸ κοινῆς ψήφου
indeed such Licinius and after these by common vote
τῶν κρατούντων αὐτοκράτωρ καὶ σεβαστὸς ἀναπέφηνε.
of-the rulers emperor and Augustus was-declared
ταῦτα Μαξιμῖνον δεινῶς ἐλύπει, μόνον καίσαρα παρὰ 13.15
these-things Maximin terribly grieved alone Caesar among
πάντας εἰσέτι τότε χρηματίζοντα, ὃς δὴ οὖν τὰ
all still then being-styled who indeed then the(-things)
μάλιστα τυραννικὸς ὢν, παραρπάσας ἑαυτῷ τὴν ἀξίαν,
most tyrannical being having-snatched for-himself the rank
σεβαστὸς ἦν, αὐτὸς ὑφ᾽ ἑαυτοῦ γεγονώς· ἐν τούτῳ δὲ
Augustus was himself by himself having-become at this(-time) and
Κωνσταντίνῳ μηχανὴν θανάτου συρράπτων ἁλοὺς
for-Constantine (a)-device of-death stitching-together having-been-caught
ὁ μετὰ τὴν ἀπόθεσιν ἐπανῃρῆσθαι δεδηλωμένος,
the(-one) after the abdication to-have-resumed shown
αἰσχίστῳ καταστρέφει θανάτῳ. πρώτου δὲ τούτου τὰς
most-shameful ends by-death first and of-this-one the
ἐπὶ τιμῇ γραφὰς, ἀνδριάντας τε καὶ ὅσα τοιαῦτα
in honor inscriptions statues both and as-many-as such(-things)

ἐπ᾽ ἀναθέσει νενόμισται, ὡς ἀνοσίου καὶ δυσσεβεστάτου
for dedication are-customary as unholy and most-impious
καθῄρουν.
they-pulled-down

14.1 Τούτου παῖς Μαξέντιος, ὁ τὴν ἐπὶ Ῥώμης τυραννίδα
his son Maxentius the(-one) the at Rome tyranny
συστησάμενος, ἀρχόμενος μὲν τὴν καθ᾽ ἡμᾶς πίστιν ἐπ᾽
having-established beginning indeed the among us faith for
ἀρεσκείᾳ καὶ κολακείᾳ τοῦ δήμου Ῥωμαίων καθυπεκρίνατο,
pleasing and flattery of-the people of-Romans feigned
ταύτῃ τε τοῖς ὑπηκόοις τὸν κατὰ Χριστιανῶν ἀνεῖναι
in-this-way and to-the subjects the against Christians to-relax
προστάττει διωγμὸν, εὐσέβειαν ἐπιμορφάζων, καὶ ὡς ἂν
orders persecution piety putting-on and that —
δεξιὸς καὶ πολὺ πρᾶος παρὰ τοὺς προτέρους φανείη·
kind and very gentle beyond the former(-rulers) he-might-appear

14.2 οὐ μὴν οἷος ἔσεσθαι ἠλπίσθη, τοιοῦτος ἔργοις ἀναπέφηνεν,
not indeed such-as to-be he-was-hoped such in-deeds he-appeared
εἰς πάσας δ᾽ ἀνοσιουργίας ὀκείλας οὐδὲν ὅ τι
into all and impieties having-run-aground nothing which —
μιαρίας ἔργον καὶ ἀκολασίας παραλέλοιπε, μοιχείας τε
of-foulness deed and of-licentiousness he-has-left-out adulteries both
καὶ παντοίας ἐπιτελῶν φθοράς· διαζευγνύς γέ τοι τῶν
and all-kinds performing corruptions separating at-least surely from-the
ἀνδρῶν τὰς κατὰ νόμον γαμετὰς, ταύτας ἐνυβρίζων,
husbands the according-to law wives these insulting
ἀτιμότατα τοῖς ἀνδράσιν αὖθις ἀπέπεμπε, καὶ ταῦτ᾽ οὐκ
most-dishonorably to-the husbands again he-sent-back and these-things not
ἀσήμοις οὐδ᾽ ἀφανέσιν ἐγχειρῶν ἐπετήδευεν, ἀλλ᾽ αὐτῶν
on-obscure nor unknown(-men) attempting he-practiced but of-very

δὴ μάλιστα τῶν τὰ πρῶτα τῆς Ῥωμαίων συγκλήτου
indeed most of-the(-men) the first(-place) of-the of-Romans senatorial
βουλῆς ἀπενηνεγμένων ἐμπαροινῶν τοῖς ἐξοχωτάτοις.
council having-carried-off drunkenly-abusing the most-eminent
οἱ πάντες δ' αὐτὸν ὑποπεπτηχότες δῆμοι καὶ ἄρχοντες, 14.3
the all and him cowering peoples and rulers
ἔνδοξοί τε καὶ ἄδοξοι, δεινῇ κατετρύχοντο τυραννίδι.
glorious both and inglorious by-terrible were-worn-out tyranny
καὶ οὐδ' ἠρεμούντων καὶ τὴν πικρὰν φερόντων δουλείαν,
and not-even being-quiet and the bitter bearing slavery
ἀπαλλαγή τις ὅμως ἦν τῆς τοῦ τυράννου φονώσης
release any nevertheless was-there from-the of-the tyrant murderous
ὠμότητος· ἐπὶ σμικρᾷ γοῦν ἤδη ποτὲ προφάσει τὸν
savagery on small at-any-rate already once pretext the
δῆμον εἰς φόνον τοῖς ἀμφ' αὐτὸν δορυφόροις ἐκδίδωσι,
people for slaughter to-the around him guards he-gives-over
καὶ ἐκτείνετο μυρία τοῦ δήμου Ῥωμαίων πλήθη ἐπὶ
and were-killed countless of-the people of-Romans multitudes in
μέσης τῆς πόλεως, οὐ Σκυθῶν οὐδὲ βαρβάρων, ἀλλ'
(the)-middle of-the city not of-Scythians nor of-barbarians but
αὐτῶν τῶν οἰκείων δόρασι καὶ πανοπλίαις.
of-very the own(-men) with-spears and full-armor
συγκλητικῶν γε μὴν φόνος ὁπόσος δι' ἐπιβουλὴν 14.4
of-senators at-least indeed slaughter how-great for (a)-plot
ἐνηργεῖτο τῆς οὐσίας οὐδ' ἐξαριθμήσασθαι δυνατὸν
was-carried-out on-the property not-even to-count (is)-possible
ἄλλοτε ἄλλαις πεπλασμέναις αἰτίαις μυρίων ἀναιρουμένων.
at-one-time on-other fabricated charges countless being-killed
ἡ δὲ τῶν κακῶν τῷ τυράννῳ κορωνὶς ἐπὶ γοητείαν 14.5
the and of-the evils for-the tyrant crowning to sorcery
ἤλαυνε, μαγικαῖς ἐπινοίαις τοτὲ μὲν γυναῖκας ἐγκύμονας
drove with-magical devices at-one-time indeed women pregnant

ἀνασχίζοντος, τοτὲ δὲ νεογνῶν σπλάγχνα βρεφῶν
cutting-open at-another-time and of-newborn entrails babes
διερευνωμένου, λέοντάς τε κατασφάττοντος, καί τινας
searching lions and slaughtering and some
ἀρρητοποιίας ἐπὶ δαιμόνων προκλήσεις καὶ ἀποτροπιασμὸν
unspeakable-rites for of-demons invocations and averting
τοῦ πολέμου συνισταμένου· διὰ τούτων γὰρ αὐτῷ τὰ
of-the war contriving through these for to-him the(-things)
τῆς νίκης κατορθωθήσεσθαι ἡ πᾶσα ἐτύγχανεν ἐλπίς.
of-the victory to-be-achieved the whole was hope

14.6 οὗτος μὲν οὖν ἐπὶ Ῥώμης τυραννῶν οὐδ' ἔστιν εἰπεῖν
this(-man) indeed then at Rome tyrannizing not-even is-it to-say
οἷα δρῶν τοὺς ὑπηκόους κατεδουλοῦτο, ὡς ἤδη
what-sort(-things) doing the subjects he-enslaved so-that already
καὶ τῶν ἀναγκαίων τροφῶν ἐν ἐσχάτῃ σπάνει καὶ ἀπορίᾳ
even of-the necessary foods in extreme want and lack
καταστῆναι, ὅσην ἐπὶ Ῥώμης οὐδ' ἄλλοτε οἱ
to-be-reduced such-as at Rome not-even at-another-time the(-men)
καθ' ἡμᾶς γενέσθαι μνημονεύουσιν.
in our(-time) to-have-been relate

14.7 ὁ δ' ἐπ' ἀνατολῆς τύραννος Μαξιμῖνος, ὡσὰν πρὸς ἀδελφὸν
the and in (the)-east tyrant Maximin as with (a)-brother
τὴν κακίαν πρὸς τὸν ἐπὶ Ῥώμης φιλίαν κρύβδην
in-the wickedness with the(-tyrant) at Rome friendship secretly
σπενδόμενος, ἐπὶ πλεῖστον χρόνον λανθάνειν ἐφρόντιζε,
making-treaty for longest time to-escape-notice took-care
φωραθείς γέ τοι ὕστερον δίκην τίννυσι τὴν ἀξίαν.
having-been-detected at-least surely later penalty pays the worthy

14.8 ἦν δὲ θαυμάσαι ὅπως καὶ οὗτος τὰ συγγενῆ καὶ
it-was and to-wonder how also this(-man) the akin(-things) and
ἀδελφὰ, μᾶλλον δὲ κακίας τὰ πρῶτα καὶ τὰ
brotherly(-things) rather but of-wickedness the first(-prizes) and the

νικητήρια τῆς τοῦ κατὰ Ῥώμην τυράννου κακοτροπίας
victory-prizes of-the of-the at Rome tyrant villainy
ἀπενηνεγμένος. γοήτων τε γὰρ καὶ μάγων οἱ πρῶτοι
having-carried-off of-sorcerers both for and of-magicians the chief(-men)
τῆς ἀνωτάτω παρ᾽ αὐτῷ τιμῆς ἠξίωντο, ψοφοδεοῦς εἰς
of-the highest with him honor were-deemed-worthy timid to
τὰ μάλιστα καὶ δεισιδαιμονεστάτου καθεστῶτος, τήν τε
the most and most-superstitious being the and
περὶ τὰ εἴδωλα καὶ τοὺς δαίμονας περὶ πολλοῦ τιθεμένου
about the idols and the demons of much placing
πλάνην. μαντειῶν γοῦν δίχα καὶ χρησμῶν οὐδὲ μέχρις
error of-divinations at-any-rate without and oracles not-even as-far-as
ὄνυχος, ὡς εἰπεῖν, τολμᾶν τι κινεῖν οἷός τε ἦν.
(a)-fingernail as to-say to-dare anything to-move able — was-he
οὗ χάριν καὶ τῷ καθ᾽ ἡμῶν σφοδρότερον ἢ οἱ 14.9
of-which for-the-sake-of also the against us more-violently than the(-ones)
πρόσθεν καὶ πυκνότερον ἐπετίθετο διωγμῷ, νεὼς κατὰ πᾶσαν
before and more-frequently he-attacked persecution temples in every
πόλιν ἐγείρειν, καὶ τὰ χρόνου μήκει καθῃρημένα τεμένη διὰ
city to-raise and the of-time by-length destroyed precincts with
σπουδῆς ἀνανεοῦσθαι προστάττων, ἱερέας τε εἰδώλων κατὰ
zeal to-be-renewed ordering priests and of-idols in
πάντα τόπον καὶ πόλιν· καὶ ἐπὶ τούτων ἑκάστης ἐπαρχίας
every place and city and over these of-each province
ἀρχιερέα, τῶν ἐν πολιτείαις ἕνα γέ τινα τὸν μάλιστα
(a)-high-priest of-the(-men) in public-affairs one at-least some the(-one) most
ἐμφανῶς διὰ πάσης ἐμπρέψαντα λειτουργίας, μετὰ
conspicuously through every having-been-distinguished public-service with
στρατιωτικοῦ στίφους καὶ δορυφορίας ἐκτάσσων, ἀνέδην
military band and bodyguard appointing without-restraint

τε πᾶσι γόησιν, ὡσὰν εὐσεβέσι καὶ θεῶν προσφιλέσιν,
and to-all sorcerers as pious and of-gods dear
ἡγεμονίας καὶ τὰς μεγίστας προνομίας δωρούμενος.
governments and the greatest privileges giving

14.10 ἐκ δὴ τούτων ὁρμώμενος πόλιν μὲν οὐ μίαν οὐδὲ
from indeed these(-things) starting city indeed not one nor
χώραν, ὅλας δὲ ἄρδην τὰς ὑπ᾽ αὐτὸν ἐπαρχίας χρυσοῦ καὶ
country whole but utterly the under him provinces of-gold and
ἀργύρου καὶ χρημάτων ἀμυθήτων εἰσπράξεσιν, ἐπισκήψεσί
of-silver and of-money untold by-exactions by-assessments
τε βαρυτάταις καὶ ἄλλοτε ἄλλαις καταδίκαις ἠνία καὶ
and most-oppressive and at-one-time by-other condemnations he-vexed and
κατεπίεζε. τῶν γε μὴν εὐπόρων τὰς ἐκ προγόνων
oppressed of-the at-least indeed wealthy the from forefathers
περιποιηθείσας οὐσίας ἀφαιρούμενος, πλούτους ἀθρόως καὶ
acquired properties taking-away wealth all-at-once and
σωροὺς χρημάτων τοῖς ἀμφ᾽ αὐτὸν κόλαξιν ἐδωρεῖτο.
heaps of-money to-the around him flatterers he-gave

14.11 παροινίας γε μὴν καὶ μέθης εἰς τοσαύτην ἠνέχθη
of-drunken-violence at-least indeed and drunkenness into so-great he-was-carried
φορὰν ὡς ἐν τοῖς πότοις παρακόπτειν καὶ τῶν
(a)-rush that in the drinking-bouts to-go-mad and from-the
φρενῶν παρεξίστασθαι, τοιαῦτά τε μεθύοντα προστάττειν
senses to-be-deranged such(-things) and drunk to-order
οἷα ἀνανήψαντα αὐτὸν τῇ ὑστεραίᾳ εἰς μετάμελον
as having-become-sober him on-the next-day to repentance
ἄγειν· κραιπάλης δὲ καὶ ἀσωτίας μηδενὶ καταλιπὼν
to-lead of-debauchery and and profligacy to-none having-left
ὑπερβολὴν, κακίας διδάσκαλον τοῖς ἀμφ᾽ αὐτὸν ἄρχουσί
excess of-wickedness (a)-teacher to-the around him rulers
τε καὶ ἀρχομένοις ἑαυτὸν καθίστη, θρύπτεσθαι μὲν τὸ
both and ruled himself he-made to-be-enervated indeed the

στρατιωτικὸν διὰ πάσης τρυφῆς τε καὶ ἀκολασίας
military through all luxury both and licentiousness
ἐνάγων, ἡγεμόνας δὲ καὶ στρατοπεδάρχας δι᾽ ἁρπαγῶν
leading governors and and camp-commanders through plunderings
καὶ πλεονεξίας χωρεῖν κατὰ τῶν ὑπηκόων, μονονουχὶ
and greed to-proceed against the subjects all-but
συντυραννοῦντας αὐτῷ, προκαλούμενος.
fellow-tyrannizing with-him inviting
τί δεῖ τὰς ἐμπαθεῖς τἀνδρὸς αἰσχρουργίας μνημονεύειν; 14.12
why must the passionate of-the-man shameful-deeds to-mention
ἢ τῶν πρὸς αὐτοῦ μεμοιχευμένων ἀπαριθμεῖσθαι τὴν
or of-the(-women) by him having-been-debauched to-count the
πληθύν; οὐκ ἦν γέ τοι πόλιν αὐτὸν παρελθεῖν, μὴ
multitude not was-it at-least surely (a)-city him to-pass not
οὐχὶ ἐκ παντὸς φθορὰς γυναικῶν παρθένων τε ἁρπαγὰς
not in every(-way) corruptions of-women of-virgins and rapes
εἰργασμένον.
having-worked
κατὰ πάντων γέ τοι αὐτῷ ταῦτα προυχώρει, μὴ ὅτι 14.13
against all at-least surely for-him these-things succeeded save that
μόνων Χριστιανῶν, οἳ θανάτου καταφρονήσαντες παρ᾽
only Christians who death having-despised as
οὐδὲν αὐτοῦ τὴν τοσαύτην ἔθεντο τυραννίδα. οἱ μὲν γὰρ
nothing his the so-great placed tyranny the indeed for
ἄνδρες ἀνατλάντες πῦρ καὶ σίδηρον καὶ προσηλώσεις,
men having-endured fire and iron and nailings
θηρᾶς τε ἀγρίους καὶ θαλάττης βυθοὺς, ἀποτομάς τε
beasts and wild and of-sea depths cuttings-off and
μελῶν καὶ καυτῆρας, καὶ ὀφθαλμῶν κεντήσεις τε καὶ
of-limbs and brandings and of-eyes piercings both and
ἐξορύξεις, καὶ τοῦ παντὸς σώματος ἀκρωτηριασμοὺς,
gougings and of-the whole body mutilations

λιμόν τε ἐπὶ τούτοις καὶ μέταλλα καὶ δεσμὰ, ἐπὶ
hunger and besides these and mines and bonds in
πάντων μᾶλλον ὑπομονὴν τὴν ὑπὲρ εὐσεβείας ἐνεδείξαντο
all rather endurance the for piety displayed
ἢ τὸ σέβας τὸ εἰς θεὸν εἰδώλοις ἀντικατηλλάξαντο.
than the reverence the toward God for-idols exchanged

14.14 αἱ δ' αὖ γυναῖκες οὐχ ἧττον τῶν ἀνδρῶν ὑπὸ τῆς
the and again women not less than-the men by the
τοῦ θείου λόγου διδασκαλίας ἠρρενωμέναι, αἱ μὲν τοὺς
of-the divine word teaching made-manly some indeed the
αὐτοὺς τοῖς ἀνδράσιν ἀγῶνας ὑποστᾶσαι ἴσα τῆς ἀρετῆς
same as-the men contests having-undergone equal of-the virtue
ἀπηνέγκαντο βραβεῖα, αἱ δὲ ἐπὶ φθορὰν ἑλκόμεναι θᾶττον
carried-off prizes others and to corruption being-dragged sooner
τὴν ψυχὴν θανάτῳ ἢ τὸ σῶμα τῇ φθορᾷ παραδεδώκασι.
the soul to-death than the body to-the corruption have-handed-over

14.15 μόνη γοῦν τῶν ἄλλων ὑπὸ τοῦ τυράννου μεμοιχευμένων
alone at-any-rate of-the other(-women) by the tyrant having-been-debauched
Χριστιανὴ τῶν ἐπ' Ἀλεξανδρείας ἐπισημοτάτη τε
(a)-Christian(-woman) of-the(-women) at Alexandria most-notable both
καὶ λαμπροτάτη τὴν ἐμπαθῆ καὶ ἀκόλαστον Μαξιμίνου ψυχὴν
and most-illustrious the passionate and licentious of-Maximin soul
δι' ἀνδρειοτάτου παραστήματος ὑπερεξενίκησεν, ἔνδοξος
through most-courageous fortitude conquered glorious
μὲν τἄλλα πλούτῳ τε καὶ γένει καὶ παιδείᾳ, πάντα
indeed in-other(-respects) in-wealth both and in-family and in-education all(-things)
γε μὴν δεύτερα σωφροσύνης τεθειμένη, ἣν καὶ πολλὰ
at-least indeed second to-chastity having-placed whom also much
λιπαρήσας κτεῖναι μὲν ἑτοίμως θνήσκειν ἔχουσαν οὐχ οἷός
having-importuned to-kill indeed readily to-die being(-ready) not able

τε ἦν, τῆς ἐπιθυμίας μᾶλλον τοῦ θυμοῦ κατακρατούσης
— he-was the desire more than-the anger prevailing
αὐτοῦ, φυγῇ δὲ ζημιώσας πάσης ἀφείλετο τῆς οὐσίας.
his with-exile but having-punished(-her) of-all he-deprived(-her) the property
μυρίαι δ' ἄλλαι πρὸς τῶν κατ' ἔθνος ἀρχόντων 14.16
countless and others by the in (the)-nation rulers
πορνείας ἀπειλὴν μηδ' ἀκοῦσαι δεδυνημέναι πᾶν εἶδος
of-fornication (the)-threat not-even to-hear having-been-able every kind
βασάνων καὶ στρεβλώσεων καὶ θανατηφόρου κολάσεως
of-tortures and rackings and death-bearing punishment
ὑπέστησαν. θαυμασταὶ μὲν οὖν καὶ αὗται, ὑπερφυῶς γε
underwent wonderful indeed then also these extraordinarily at-least
μὴν θαυμασιωτάτη ἡ ἐπὶ Ῥώμης εὐγενεστάτη τῷ ὄντι
indeed most-wonderful the at Rome most-noble in-the reality
καὶ σωφρονεστάτη γυνὴ πασῶν, αἷς ἐμπαροινεῖν ὁ ἐκεῖσε
and most-chaste woman of-all whom to-abuse the there
τύραννος Μαξέντιος τὰ ὅμοια Μαξιμίνῳ δρῶν ἐπειρᾶτο.
tyrant Maxentius the like(-things) to-Maximin doing tried
ὡς γὰρ ἐπιστάντας τῷ οἴκῳ τοὺς τὰ τοιαῦτα τῷ 14.17
when for standing-at the house the(-men) the such(-things) for-the
τυράννῳ διακονουμένους ἐπύθετο, (Χριστιανὴ δὲ καὶ αὕτη
tyrant serving she-learned (a)-Christian and also she
ἦν), τόν τε ἄνδρα τὸν αὐτῆς, καὶ ταῦτα Ῥωμαίων
was the and husband the her and that of-Romans
ὄντα ἔπαρχον, τοῦ δέους ἕνεκα λαβόντας ἄγειν αὐτὴν
being prefect of-the fear for-the-sake having-taken to-lead her
ἐπιτρέψαντα, εἰς βραχὺν ὑποπαραιτησαμένη, ὡς ἂν
having-permitted for (a)-short(-while) having-begged-leave that —
δὴ κατακοσμηθείη τὸ σῶμα, εἴσεισιν ἐπὶ τοῦ ταμιείου,
indeed might-be-adorned the body she-goes-in into the chamber
καὶ μονωθεῖσα ξίφος καθ' ἑαυτῆς πήγνυσι, θανοῦσά τε
and having-been-alone (a)-sword against herself she-fixes having-died and

παραχρῆμα τὸν μὲν νεκρὸν τοῖς προαγωγοῖς καταλιμπάνει,
at-once the indeed corpse to-the procurers she-leaves
ἔργοις δ᾽ αὐτοῖς ἁπάσης φωνῆς γεγωνοτέροις, ὅτι μόνον
by-deeds and themselves than-every voice more-loud that only
χρημάτων ἀήττητόν τε καὶ ἀνώλεθρον ἡ παρὰ Χριστιανοῖς
of-things invincible both and indestructible the among Christians
ἀρετὴ πέφυκεν, εἰς πάντας ἀνθρώπους τούς τε νῦν
virtue is to all men the(-ones) both now
ὄντας καὶ τοὺς μετὰ ταῦτα γενησομένους ἐξέφηνε.
being and the(-ones) after these-things about-to-be she-showed
14.18 τοσαύτη δῆτα κακίας φορὰ ὑφ᾽ ἕνα καὶ τὸν αὐτὸν
so-great indeed of-wickedness (a)-rush under one and the same
συνηνέχθη καιρὸν, πρὸς τῶν δύο τυράννων ἀνατολὴν καὶ
came-together time by the two tyrants (the)-east and
δύσιν διειληφότων κατεργασθεῖσα. τίς δ᾽ ἂν τὴν τῶν
(the)-west having-divided accomplished who and — the of-the
τοσούτων διερευνώμενος αἰτίαν διστάξαι μὴ οὐχὶ τὸν
so-many(-things) searching cause would-hesitate not not the
καθ᾽ ἡμῶν διωγμὸν ἀποφήνασθαι; ὅτε γε μάλιστα οὐ
against us persecution to-declare when at-least most not
πρότερον τὰ τῆς τοσῆσδε πέπαυτο συγχύσεως ἢ
before the(-things) of-the so-great had-ceased confusion than
Χριστιανοὺς τὰ τῆς παρρησίας ἀπολαβεῖν.
Christians the(-things) of-the freedom-of-speech to-recover

Through the ten years, war and plots never ceased; famine and plague followed. Galerius, the persecution's author, was struck with a putrefying ulcer that bred worms; physicians unable to bear the stench were killed. He confessed and issued an edict in his colleagues' names and his own, letting Christians exist and rebuild their meeting places if they kept discipline, and bidding them pray for the emperors. He soon died; the four rulers' ends follow.

Διὰ παντός γέ τοι τοῦ κατὰ τὸν διωγμὸν δεκαέτους 15.1
through all at-least surely the during the persecution ten-year
χρόνου τῶν εἰς ἐπιβουλὴν καὶ πόλεμον τὸν κατ'
time of-the(-things) for plotting and war the(-war) against
ἀλλήλων οὐδὲν αὐτοὺς διαλέλοιπεν. ἄπλωτα μὲν γὰρ τὰ
one-another nothing them ceased unnavigable indeed for the(-parts)
κατὰ θάλατταν ἦν, οὐδ' ἐξῆν ποθὲν καταπλεύσαντας
over (the)-sea were nor was-it-possible from-anywhere having-sailed-in
μὴ οὐχὶ πάσαις αἰκίαις ὑπάγεσθαι, στρεβλουμένους καὶ τὰς
not not to-all tortures to-be-subjected being-racked and the
πλευρὰς καταξαινομένους, βασάνοις τε παντοίαις, μὴ ἄρα
sides being-torn with-tortures and all-kinds lest after-all
παρὰ τῶν δι' ἐναντίας ἐχθρῶν ἥκοιεν, ἀνακρινομένους,
from the on (the)-opposite(-side) enemies they-came being-examined
καὶ τέλος σταυροῖς ἢ τῇ διὰ πυρὸς ὑπαγομένους κολάσει.
and finally to-crosses or to-the through fire being-subjected punishment
ἀσπίδων ἐπὶ τούτοις καὶ θωράκων παρασκευαὶ, βελῶν 15.2
of-shields besides these and breastplates preparations of-arrows
τε καὶ δοράτων καὶ τῆς ἄλλης πολεμικῆς παρατάξεως
both and of-spears and of-the other warlike array
ἑτοιμασίαι, τριήρων τε καὶ τῶν κατὰ ναυμαχίαν ὅπλων,
preparations of-triremes both and of-the for sea-fight arms
κατὰ πάντα συνεκροτοῦντο τόπον, οὐδ' ἦν ἄλλο τι
in every were-assembled place nor was other anything

παντί τῳ προσδοκᾶν ἢ πολεμίων κατὰ πᾶσαν ἔφοδον
for-every one to-expect than of-enemies on every attack
ἡμέραν. τούτοις καὶ ὁ μετὰ ταῦτα λιμός τε καὶ λοιμὸς
day on-these also the after these-things famine both and plague
ἐγκατασκήπτει, περὶ ὧν κατὰ καιρὸν ἱστορήσομεν τὰ
falls-upon about which at (the)-time we-shall-relate the(-things)
δέοντα.
needful

16.1 Τοιαῦτ' ἦν τὰ διὰ παντὸς τοῦ διωγμοῦ παρατετακότα,
such were the(-things) through all the persecution having-extended
δεκάτῳ μὲν ἔτει σὺν θεοῦ χάριτι παντελῶς πεπαυμένου,
in-(the)-tenth indeed year with of-God grace entirely having-ceased
λωφᾶν γε μὴν μετ' ὄγδοον ἔτος ἐναρξαμένου. ὡς γὰρ
to-abate at-least indeed after (the)-eighth year having-begun when for
τὴν εἰς ἡμᾶς ἐπισκοπὴν εὐμενῆ καὶ ἵλεων ἡ θεία καὶ
the toward us visitation kindly and gracious the divine and
οὐράνιος χάρις ἐνεδείκνυτο, τότε δὴ καὶ οἱ καθ' ἡμᾶς
heavenly grace showed then indeed also the in our(-time)
ἄρχοντες, αὐτοὶ δὴ ἐκεῖνοι δι' ὧν πάλαι τὰ
rulers themselves indeed those through whom of-old the(-affairs)
τῶν καθ' ἡμᾶς ἐνηργεῖτο πολέμων, παραδοξότατα
of-the against us were-carried-out wars most-wonderfully
μεταθέμενοι τὴν γνώμην παλινῳδίαν ᾖδον, χρηστοῖς περὶ
having-changed the mind (a)-recantation sang with-kindly about
ἡμῶν προγράμμασι καὶ διατάγμασιν ἡμερωτάτοις τὴν ἐπὶ
us edicts and decrees most-gentle the to
which over whole indeed creeping the bodies dangerous caused
τοῖς πεπονθόσι κινδύνους, οὐ μὴν ἀλλὰ καὶ κατὰ τῶν
for-the(-ones) having-suffered perils not indeed but also over the
ὀφθαλμῶν διαφερόντως ἐπὶ πλεῖστον γινόμενον μυρίους
eyes especially for most happening countless
ὅσους ἄνδρας ἅμα γυναιξὶ καὶ παισὶ πηροὺς ἀπειργάζετο.
as-many men together-with women and children blind it-made

τούτοις προσεπανίσταται τῷ τυράννῳ ὁ πρὸς Ἀρμενίους 8.2
to-these rises-up-in-addition for-the tyrant the against Armenians
πόλεμος, ἄνδρας ἐξ ἀρχαίου φίλους τε καὶ συμμάχους
war men from old friends both and allies

Ῥωμαίων, οὓς καὶ αὐτοὺς Χριστιανοὺς ὄντας τὴν εἰς τὸ
of-Romans whom also themselves Christians being the toward the
θεῖον εὐσέβειαν διὰ σπουδῆς ποιουμένους ὁ θεομισὴς εἰδώλοις
divine piety with zeal making the God-hated to-idols
θύειν καὶ δαίμοσιν ἐπαναγκάσαι πεπειραμένος ἐχθροὺς
to-sacrifice and to-demons to-compel having-tried enemies
ἀντὶ φίλων καὶ πολεμίους ἀντὶ συμμάχων κατεστήσατο.
instead-of friends and foes instead-of allies he-made

8.3 ἀθρόως δὴ ταῦτα πάντα ὑφ᾽ ἕνα καὶ τὸν αὐτὸν
all-at-once indeed these-things all under one and the same
συρρεύσαντα καιρὸν τῆς τοῦ τυράννου θρασύτητος τὴν
having-flowed-together time of-the of-the tyrant boldness the
κατὰ τοῦ θείου μεγαλαυχίαν διήλεγξεν, ὅτι δὴ τῆς περὶ
against the divine boasting refuted because indeed of-the about
τὰ εἴδωλα αὐτοῦ σπουδῆς καὶ τῆς καθ᾽ ἡμῶν ἕνεκα
the idols his zeal and of-the against us for-the-sake
πολιορκίας μὴ λιμὸν μηδὲ λοιμὸν μηδὲ μὴν πόλεμον
siege not famine nor plague nor indeed war
ἐπὶ τῶν αὐτοῦ συμβῆναι καιρῶν ἐθρασύνετο. ταῦτα δ᾽
in the his to-have-happened times he-boasted these-things and
οὖν ὁμοῦ καὶ κατὰ τὸ αὐτὸ ἐπελθόντα καὶ τῆς αὐτοῦ
then together and at the same(-time) having-come also of-the his
καταστροφῆς περιειλήφει τὰ προοίμια.
overthrow encompassed the preludes

8.4 αὐτὸς μὲν οὖν περὶ τὸν πρὸς Ἀρμενίους πόλεμον ἅμα
himself indeed then in the against Armenians war together-with
τοῖς αὐτοῦ στρατοπέδοις κατεπονεῖτο, τοὺς δὲ λοιποὺς
the his armies was-worn-out the and remaining
τῶν τὰς ὑπ᾽ αὐτὸν πόλεις οἰκούντων δεινῶς ὁ λιμός
of-the(-men) the under him cities inhabiting terribly the famine

τε ἅμα καὶ λοιμὸς κατετρυχέτην, ὡς ἑνὸς μέτρου πυρῶν
both together and plague wore-out so-that of-one measure of-wheat
δισχιλίας καὶ πεντακοσίας Ἀττικὰς ἀντικαταλλάττεσθαι.
two-thousand and five-hundred Attic(-drachmas) to-be-exchanged
μυρίοι μὲν οὖν ἐτύγχανον οἱ κατὰ πόλεις θνήσκοντες, 8.5
countless indeed then happened the(-ones) in cities dying
πλείους δὲ τούτων οἱ κατ᾽ ἀγρούς τε καὶ κώμας, ὡς
more and than-these the(-ones) in fields both and villages so-that
ἤδη καὶ τὰς πάλαι τῶν ἀγροίκων πολυάνδρους ἀπογραφὰς
already also the of-old of-the country-folk populous registers
μικροῦ δεῖν παντελῆ παθεῖν ἐξάλειψιν, ἀθρόως σχεδὸν
by-little to-want complete to-suffer obliteration all-at-once nearly
ἁπάντων ἐνδείᾳ τροφῆς καὶ λοιμώδει νόσῳ διεφθαρμένων.
all by-want of-food and plague-like disease destroyed
τινὲς μὲν οὖν τὰ ἑαυτῶν φίλτατα βραχυτάτης τροφῆς 8.6
some indeed then the their-own dearest(-ones) for-smallest food
τοῖς εὐπορωτέροις ἀπεμπολᾶν ἠξίουν, ἄλλοι δὲ τὰς κτήσεις
to-the more-wealthy to-sell thought-fit others and the possessions
κατὰ βραχὺ διαπιπράσκοντες εἰς ἐσχάτην ἐνδείας ἀπορίαν
by little selling-off to (the)-utmost of-want helplessness
ἤλαυνον· ἤδη δέ τινες σμικρὰ χόρτου διαμασώμενοι
drove already and some small(-bits) of-hay chewing
σπαράγματα, καί τινας ἀνέδην φθοροποιοὺς ἐσθίοντες
shreds and some freely destructive eating
πόας, τὴν τῶν σωμάτων ἕξιν λυμαινόμενοι διώλλυντο.
grasses the of-the bodies condition ruining perished
καὶ γυναίων δὲ τῶν κατὰ πόλεις εὐγενίδων τινὲς, εἰς 8.7
and of-little-women too of-the in cities noble some into
ἀναίσχυντον ἀνάγκην πρὸς τῆς ἀπορίας ἐλαθεῖσαι, μεταιτεῖν
shameless necessity by the helplessness driven to-beg
ἐπὶ τῶν ἀγορῶν προεληλύθεσαν, τῆς πάλαι ἐλευθερίου
in the marketplaces had-gone-forth of-the of-old free

τροφῆς ὑπόδειγμα διὰ τῆς περὶ τὸ πρόσωπον αἰδοῦς
upbringing (an)-example through the about the face shame
καὶ τῆς ἀμφὶ τὴν περιβολὴν κοσμιότητος ὑποφαίνουσαι.
and the about the dress decorum showing

8.8 καὶ οἱ μὲν ἀπεσκληκότες ὥσπερ εἴδωλα νεκρὰ ὧδε κἀκεῖσε
and some indeed dried-up as-if images dead here and-there
ψυχορραγοῦντες, ἐνσειόμενοί τε καὶ περιολισθαίνοντες
gasping-out-life tottering both and slipping
ὑπ᾽ ἀδυναμίας τοῦ στῆναι, κατέπιπτον ἐν μέσαις ταῖς
by weakness of-the to-stand fell-down in (the)-middle the
πλατείαις, πρηνεῖς δ᾽ ἡπλωμένοι ὀρέξαι σφίσι μικρὸν
squares headlong and stretched-out to-hold-out to-them (a)-little
τρύφος ἄρτου κατηντιβόλουν, καὶ τὴν ψυχὴν πρὸς
morsel of-bread they-begged and the soul at
ἐσχάταις ἔχοντες ἀναπνοαῖς πεινῆν ἐπεβόων, πρὸς μόνην
(the)-last having breaths to-be-hungry they-cried for only
ταύτην τὴν ὀδυνηροτάτην φωνὴν εὐσθενεῖς καθιστάμενοι·
this the most-painful voice strong becoming

8.9 οἱ δὲ τὴν πληθὺν τῶν αἰτούντων καταπληττόμενοι,
others and the multitude of-the(-ones) asking being-astounded-at
ὅσοι τῶν εὐπορωτέρων ἐδόκουν εἶναι, μετὰ τὸ
as-many-as of-the more-wealthy seemed to-be after the
μυρία παρασχεῖν εἰς ἀπηνῆ λοιπὸν καὶ ἄτεγκτον
countless(-things) to-have-provided to harsh henceforth and unmoved
ἐχώρουν διάθεσιν, τὰ αὐτὰ τοῖς αἰτοῦσιν ὅσον
went disposition the same(-things) as-the(-ones) asking as-much-as
οὔπω καὶ αὐτοὶ πείσεσθαι προσδοκῶντες, ὥστ᾽ ἤδη
not-yet also themselves to-suffer expecting so-that already
κατὰ μέσας ἀγορὰς καὶ στενωποὺς νεκρὰ καὶ γυμνὰ
throughout (the)-middle marketplaces and alleys dead and naked

σώματα ἐφ᾽ ἡμέραις πλείοσιν ἄταφα διερριμμένα θέαν
bodies for days more unburied scattered (a)-sight
τοῖς ὁρῶσιν οἰκτροτάτην παρέχεσθαι.
to-the(-ones) seeing most-pitiable to-present
ἤδη γέ τοι καὶ κυνῶν τινὲς ἐγίνοντο βορὰ, δι᾽ 8.10
already at-least surely also of-dogs some became food for
ἣν μάλιστα αἰτίαν οἱ ζῶντες ἐπὶ τὴν κυνοκτονίαν
which most cause the(-ones) living to the dog-killing
ἐτράποντο, δέει τοῦ μὴ λυσσήσαντας ἀνθρωποφαγίαν
turned from-fear of-the not having-gone-mad man-eating
ἐργάσασθαι.
to-commit
οὐχ ἥκιστα δὲ καὶ ὁ λοιμὸς πάντας οἴκους καὶ γενεὰς 8.11
not least and also the plague all houses and families
ἐπεβόσκετο, μάλιστα δ᾽ οὓς ὁ λιμὸς διὰ τὸ εὐπορεῖν
fed-on most and whom the famine because-of the to-be-well-off
τροφῶν οὐχ οἷός τε ἦν ἐκτρῖψαι. οἱ γοῦν ἐν
for-food not able — was to-wipe-out the(-ones) at-any-rate in
περιουσίαις, ἄρχοντες καὶ ἡγεμόνες καὶ μυρίοι τῶν ἐν
wealth rulers and governors and countless of-the(-men) in
τέλει, ὥσπερ ἐπίτηδες τῇ λοιμώδει νόσῳ πρὸς τοῦ λιμοῦ
office as-if on-purpose for-the pestilential disease by the famine
καταλελειμμένοι, ὀξεῖαν καὶ ὠκυτάτην ὑπέμενον τελευτήν·
left sharp and most-swift endured death
πάντα δ᾽ οὖν οἰμωγῶν ἦν ἀνάπλεα, κατὰ πάντας τε
all(-places) and then of-lamentations were full in all both
στενωποὺς, ἀγοράς τε καὶ πλατείας οὐδ᾽ ἦν ἄλλο
alleys marketplaces both and squares nor was-there other
τι θεωρεῖν ἢ θρήνους μετὰ τῶν συνήθων αὐτοῖς
anything to-see than lamentations with the customary for-them
αὐλῶν τε καὶ κτύπων.
flutes both and beatings

8.12 τοῦτον δὴ τὸν τρόπον δυσὶν ὅπλοις τοῖς προδεδηλωμένοις
this indeed the manner with-two weapons the before-shown
λοιμοῦ τε ὁμοῦ καὶ λιμοῦ στρατεύσας ὁ θάνατος ὅλας
of-plague both together and of-famine having-campaigned the death whole
ἐν ὀλίγῳ γενεὰς ἐνεμήθη, ὡς ὁρᾶν ἤδη δυεῖν καὶ
in (a)-little(-time) families devoured so-that to-see already of-two and
τριῶν σώματα νεκρῶν ὑπὸ μίαν ἐκφορὰν προκομιζόμενα.
of-three bodies dead under one funeral carried-forth

8.13 τοιαῦτα τῆς Μαξιμίνου μεγαλαυχίας καὶ τῶν κατὰ πόλεις
such of-the of-Maximin boasting and of-the in cities
καθ' ἡμῶν ψηφισμάτων τἀπίχειρα ἦν, ὅτε καὶ τῆς
against us decrees the-wages were when also of-the
Χριστιανῶν περὶ πάντα σπουδῆς τε καὶ εὐσεβείας πᾶσιν
of-Christians in all(-things) zeal both and piety to-all
ἔθνεσιν διάδηλα κατέστη τὰ τεκμήρια.
nations manifest became the proofs

8.14 μόνοι γοῦν ἐν τηλικαύτῃ κακῶν περιστάσει τὸ συμπαθὲς
alone at-any-rate in so-great of-evils circumstance the sympathetic
καὶ φιλάνθρωπον ἔργοις αὐτοῖς ἐπιδεικνύμενοι, διὰ πάσης
and humane in-deeds themselves displaying through all
ἡμέρας οἱ μὲν τῇ τῶν θνησκόντων (μυριάδες δ' ἦσαν
day some indeed in-the of-the dying myriads and they-were
οἷς οὔτις ἦν ὁ ἐπιμελησόμενος) κηδείᾳ τε καὶ
for-whom no-one was the(-one) about-to-care burial both and
ταφῇ προσεκαρτέρουν, οἱ δὲ τῶν ἀνὰ πᾶσαν
entombment persevered others and of-the(-ones) throughout all
τὴν πόλιν πρὸς τοῦ λιμοῦ κατατρυχομένων τὴν πληθὺν
the city by the famine being-worn-out the multitude
ὑπὸ μίαν σύνοψιν ἀθροίζοντες ἄρτους διένεμον τοῖς πᾶσιν,
under one survey gathering loaves distributed to-the all
ὡς περιβόητον εἰς πάντας ἀνθρώπους καταστῆναι τὸ
so-that famous to all men to-become the

πρᾶγμα, θεόν τε τῶν Χριστιανῶν δοξάζειν, εὐσεβεῖς
deed God both of-the Christians to-glorify pious
τε καὶ μόνους θεοσεβεῖς τούτους ἀληθῶς, πρὸς αὐτῶν
both and only God-fearing these truly by very
ἐλεγχθέντας τῶν πραγμάτων, ὁμολογεῖν.
convinced the deeds to-confess
ἐφ᾽ οἷς τοῦτον ἐπιτελουμένοις τὸν τρόπον ὁ μέγας καὶ 8.15
upon which this being-accomplished the manner the great and
οὐράνιος Χριστιανῶν ὑπέρμαχος θεὸς τὴν κατὰ πάντων
heavenly of-Christians champion God the against all
ἀνθρώπων διὰ τῶν δεδηλωμένων ἐπιδειξάμενος ἀπειλὴν
men through the shown(-things) having-displayed threat
καὶ ἀγανάκτησιν ἀνθ᾽ ὧν εἰς ἡμᾶς ὑπερβαλλόντως
and indignation in-return-for what toward us excessively
ἐνεδείξαντο, τὴν εὐμενῆ καὶ φαιδρὰν τῆς αὐτοῦ περὶ
they-displayed the kindly and bright of-the his toward
ἡμᾶς προνοίας αὖθις ἡμῖν αὐγὴν ἀπεδίδου, ὡς ἐν βαθεῖ
us providence again to-us ray gave-back as in deep
σκότῳ παραδοξότατα φῶς ἡμῖν ἐξ αὐτοῦ καταλάμπων
darkness most-wonderfully light to-us from himself shining-down
εἰρήνης, ἐκφανές τε τοῖς πᾶσι καθιστὰς, θεὸν αὐτὸν τῶν
of-peace manifest and to-the all making God himself of-the
καθ᾽ ἡμᾶς ἐπίσκοπον διὰ παντὸς γεγονέναι πραγμάτων,
among us overseer through all to-have-been affairs
μαστίζοντα μὲν καὶ διὰ τῶν περιστάσεων κατὰ καιρὸν
scourging indeed and through the circumstances at (the)-time
ἐπιστρέφοντα τὸν αὐτοῦ λαὸν, πάλιν δ᾽ αὖ μετὰ τὴν
converting the his people again and again after the
αὐτάρκη παιδείαν ἵλεων καὶ εὐμενῆ τοῖς εἰς αὐτὸν
sufficient discipline gracious and kindly to-the(-ones) in him
τὰς ἐλπίδας ἔχουσιν ἀναφαινόμενον.
the hopes having appearing

Constantine, with Christ as his ally, took Rome, where Maxentius drowned as his bridge broke; Constantine's statue there bears the cross. Maximin wrote to Sabinus pretending he had never compelled anyone. Waging war on Licinius, he was routed, slipped off his imperial dress and fled, killed the priests whose oracles had misled him, issued an edict of full freedom for the Christians, and died wasted by a divine plague. His children and partisans, Theotecnus with them, were put to death.

9.1 Οὕτω δὴ Κωνσταντίνου, ὃν βασιλέα ἐκ βασιλέως,
thus indeed Constantine whom emperor from emperor
εὐσεβῆ τε ἐξ εὐσεβεστάτου καὶ πάντα σωφρονεστάτου
pious both from most-pious and in-all(-things) most-prudent
γεγονέναι προειρήκαμεν, Λικιννίου τε τοῦ μετ' αὐτὸν,
to-have-been we-said-before Licinius and the(-one) after him
συνέσει καὶ εὐσεβείᾳ τετιμημένων, πρὸς τοῦ
with-understanding and piety honored by the
παμβασιλέως θεοῦ τε τῶν ὅλων καὶ σωτῆρος δύο
king-of-all God both of-the universe and savior two
θεοφιλῶν κατὰ τῶν δύο δυσσεβεστάτων τυράννων
God-loving(-men) against the two most-impious tyrants
ἀνεγηγερμένων, πολέμου τε νόμῳ παραταξαμένων, θεοῦ
having-been-roused of-war and by-law having-drawn-up God
συμμαχοῦντος αὐτοῖς, παραδοξότατα πίπτει μὲν ἐπὶ Ῥώμης
fighting-with them most-wonderfully falls indeed at Rome
ὑπὸ Κωνσταντίνου Μαξέντιος, ὁ δ' ἐπ' ἀνατολῆς οὐ
by Constantine Maxentius the(-other) and in (the)-east not
πολὺν ἐπιζήσας ἐκείνῳ χρόνον αἰσχίστῳ καὶ αὐτὸς ὑπὸ
long having-survived him time most-shameful also himself by
Λικιννίου, οὔπω μανέντος τότε, καταστρέφει θανάτῳ.
Licinius not-yet having-gone-mad then ends by-death

πρότερός γε μὴν ὁ καὶ τιμῇ καὶ τάξει τῆς 9.2
first at-least indeed the(-one) both in-honor and in-rank of-the
βασιλείας πρῶτος Κωνσταντῖνος, τῶν ἐπὶ Ῥώμης
reign first Constantine of-the(-people) at Rome
κατατυραννουμένων φειδὼ λαβὼν, θεὸν τὸν οὐράνιον,
tyrannized pity having-taken God the heavenly
τόν τε τούτου λόγον, αὐτὸν δὴ τὸν πάντων σωτῆρα
the and his word himself indeed the of-all savior
Ἰησοῦν Χριστὸν σύμμαχον δι᾽ εὐχῶν ἐπικαλεσάμενος,
Jesus Christ (as)-ally through prayers having-called-upon
πρόεισι πανστρατιᾷ, Ῥωμαίοις τὰ τῆς ἐκ προγόνων
advances with-whole-army for-Romans the(-things) of-the from forefathers
ἐλευθερίας προμνώμενος.
freedom securing
Μαξεντίου δῆτα μᾶλλον ταῖς κατὰ γοητείαν μηχαναῖς ἢ 9.3
Maxentius indeed rather in-the of sorcery devices than
τῇ τῶν ὑπηκόων ἐπιθαρσοῦντος εὐνοίᾳ, προελθεῖν γε
in-the of-the subjects trusting goodwill to-advance at-least
μὴν οὐδ᾽ ὅσον πυλῶν τοῦ ἄστεος ἐπιτολμῶντος, ὁπλιτῶν
indeed not-even as-far-as (the)-gates of-the city daring of-hoplites
δ᾽ ἀνηρίθμῳ πλήθει καὶ στρατοπέδων λόχοις μυρίοις
and with-countless multitude and of-camps with-companies countless
πάντα τόπον καὶ χώραν καὶ πόλιν, ὅση τις ἐν κύκλῳ
every place and country and city as-much-as any in (a)-circle
τῆς Ῥωμαίων καὶ Ἰταλίας ἀπάσης ὑπ᾽ αὐτῷ δεδούλωτο,
of-the of-Romans(-city) and Italy all under him had-been-enslaved
φραξαμένου, ὁ τῆς ἐκ θεοῦ συμμαχίας ἀνημμένος
having-fenced the(-one) with-the from God alliance armed
βασιλεὺς ἐπιὼν πρώτῃ καὶ δευτέρᾳ καὶ τρίτῃ τοῦ τυράννου
emperor attacking (the)-first and second and third of-the tyrant

παρατάξει, εὖ μάλα τε πάσας ἑλὼν, πρόεισιν ἐπὶ πλεῖστον
battle-line well very and all having-taken advances to very
ὅσον τῆς Ἰταλίας, ἤδη τε αὐτῆς Ῥώμης ἄγχιστα ἦν·
as-much-as — of-Italy already and of-very Rome nearest he-was
9.4 εἶθ' ὡς μὴ τοῦ τυράννου χάριν Ῥωμαίοις πολεμεῖν
then that not of-the tyrant for-the-sake-of with-Romans to-war
ἀναγκάζοιτο, θεὸς αὐτὸς δεσμοῖς τισιν ὥσπερ τὸν
he-might-be-compelled God himself with-bonds some as-it-were the
τύραννον πορρωτάτω πυλῶν ἐξέλκει, καὶ τὰ
tyrant farthest from-(the)-gates drags-out and the(-things)
πάλαι δὴ κατὰ ἀσεβῶν ὡς ἐν μύθου λόγῳ παρὰ τοῖς
of-old indeed against (the)-impious as in of-myth word among the
πλείστοις ἀπιστούμενα, πιστά γε μὴν πιστοῖς ἐν ἱεραῖς
most disbelieved credible at-least indeed to-believers in sacred
βίβλοις ἐστηλιτευμένα, αὐτῇ ἐναργείᾳ πᾶσιν ἁπλῶς
books recorded with-very clearness to-all simply
εἰπεῖν πιστοῖς καὶ ἀπίστοις, ὀφθαλμοῖς τὰ παράδοξα
to-say believers and unbelievers with-eyes the wonders
παρειληφόσιν ἐπιστώσατο.
having-received he-confirmed
9.5 ὥσπερ οὖν ἐπ' αὐτοῦ Μωυσέως καὶ τοῦ πάλαι
as then in-the-time-of very Moses and of-the of-old
θεοσεβοῦς Ἑβραίων γένους "ἅρματα Φαραὼ καὶ τὴν
God-fearing of-Hebrews race (the)-chariots of-Pharaoh and the
δύναμιν αὐτοῦ ἔρριψεν εἰς θάλασσαν, ἐπιλέκτους ἀναβάτας
army his he-cast into (the)-sea chosen riders
τριστάτας κατεπόντισεν ἐν θαλάσσῃ ἐρυθρᾷ, πόντῳ
captains he-drowned in (the)-sea red with-(the)-deep
ἐκάλυψεν αὐτούς", κατὰ τὰ αὐτὰ δὴ καὶ Μαξέντιος
he-covered them in the same(-way) indeed also Maxentius
οἵ τε ἀμφ' αὐτὸν ὁπλῖται καὶ δορυφόροι "ἔδυσαν εἰς
the and around him hoplites and bodyguards sank into

βυθὸν ὡσεὶ λίθος", ὁπηνίκα νῶτα δοὺς τῇ ἐκ
(the)-depth like (a)-stone when (his)-back having-given to-the from
θεοῦ μετὰ Κωνσταντίνου δυνάμει τὸν πρὸ τῆς πορείας
God with Constantine power the before the march
διῄει ποταμὸν, ὃν αὐτὸς σκάφεσι ζεύξας καὶ εὖ μάλα
he-crossed river which he-himself with-boats having-yoked and well very
γεφυρώσας μηχανὴν ὀλέθρου καθ' ἑαυτοῦ συνεστήσατο.
having-bridged (a)-device of-destruction against himself had-constructed
ἐφ' ᾧ ἦν ἂν εἰπεῖν "λάκκον ὤρυξε καὶ ἀνέσκαψεν 9.6
upon which it-was-possible — to-say (a)-pit he-dug and he-hollowed
αὐτὸν, καὶ ἐμπεσεῖται εἰς βόθρον ὃν εἰργάσατο. ἐπιστρέψει
it and he-will-fall into (the)-ditch which he-made will-return
ὁ πόνος αὐτοῦ εἰς κεφαλὴν αὐτοῦ, καὶ ἐπὶ κορυφὴν
the toil his upon (the)-head his and upon (the)-crown
αὐτοῦ ἡ ἀδικία αὐτοῦ καταβήσεται."
his the injustice his will-come-down
ταύτῃ δῆτα τοῦ ἐπὶ τοῦ ποταμοῦ ζεύγματος διαλυθέντος 9.7
in-this-way indeed of-the over the river bridge having-been-broken-up
ὑφιζάνει μὲν ἡ διάβασις, χωρεῖ δ' ἀθρόως αὖτανδρα
sinks-down indeed the crossing goes and all-at-once with-their-men
κατὰ τοῦ βυθοῦ τὰ σκάφη, καὶ αὐτός γε πρῶτος ὁ
to the depth the boats and himself at-least first the
δυσσεβέστατος, εἶτα δὲ καὶ οἱ ἀμφ' αὐτὸν ὑπασπισταὶ,
most-impious then and also the around him shield-bearers
ᾗ τὰ θεῖα προαναφωνεῖ λόγια "ἔδυσαν ὡσεὶ μόλυβδος
as the divine foretell oracles they-sank like lead
ἐν ὕδατι σφοδρῷ·"
in water mighty
ὥστε εἰκότως εἰ μὴ λόγοις, ἔργοις δ' οὖν ὁμοίως 9.8
so-that fittingly if not in-words in-deeds and then like
τοῖς ἀμφὶ τὸν μέγαν θεράποντα Μωυσέα, τοὺς παρὰ
the(-men) around the great servant Moses the(-men) from

θεοῦ τὴν νίκην ἀραμένους αὐτὰ δὴ τὰ κατὰ τοῦ
God the victory having-won very indeed the(-things) against the
πάλαι δυσσεβοῦς τυράννου ὧδέ πως ἀνυμνεῖν καὶ λέγειν
of-old impious tyrant thus somehow to-hymn and to-say
"ᾄσωμεν τῷ κυρίῳ, ἐνδόξως γὰρ δεδόξασται. ἵππον καὶ
let-us-sing to-the Lord gloriously for he-has-been-glorified horse and
ἀναβάτην ἔρριψεν εἰς θάλασσαν· βοηθὸς καὶ σκεπαστής
rider he-cast into (the)-sea helper and protector
μου κύριος ἐγένετό μοι εἰς σωτηρίαν·" καὶ "τίς ὅμοιός
my (the)-Lord became for-me for salvation and who (is)-like
σοι ἐν θεοῖς, κύριε, τίς ὅμοιός σοι; δεδοξασμένος ἐν
you among gods Lord who (is)-like you glorified among
ἁγίοις, θαυμαστὸς ἐν δόξαις, ποιῶν τέρατα."
holy(-ones) wonderful in glories doing wonders

9.9 ταῦτά τε καὶ ὅσα τούτοις ἀδελφά τε καὶ ἐμφερῆ
these-things both and as-many-as to-these akin both and similar
Κωνσταντῖνος τῷ πανηγεμόνι καὶ τῆς νίκης αἰτίῳ θεῷ
Constantine to-the all-ruler and of-the victory cause God
αὐτοῖς ἔργοις ἀνυμνήσας, ἐπὶ Ῥώμης μετ' ἐπινικίων
by-very deeds having-hymned into Rome with victory-songs
εἰσήλαυνε, πάντων ἀθρόως αὐτὸν ἅμα κομιδῇ νηπίοις
rode all all-at-once him together-with quite infants
καὶ γυναιξί, τῶν τε ἀπὸ τῆς συγκλήτου βουλῆς καὶ τῶν
and women of-the(-men) both from the senatorial council and of-the
ἄλλων διασημοτάτων σὺν παντὶ δήμῳ Ῥωμαίων φαιδροῖς
other most-distinguished with all (the)-people of-Romans with-bright
ὄμμασιν, αὐταῖς ψυχαῖς, οἷα λυτρωτὴν, σωτῆρά τε καὶ
eyes with-very souls as redeemer savior both and
εὐεργέτην μετ' εὐφημιῶν καὶ ἀπλήστου χαρᾶς ὑποδεχομένων.
benefactor with acclamations and insatiable joy receiving

ὁ δ᾽ ὥσπερ ἔμφυτον τὴν εἰς θεὸν εὐσέβειαν κεκτημένος, 9.10
he but as-if inborn the toward God piety having-acquired
μηδ᾽ ὅλως ἐπὶ ταῖς βοαῖς ὑποσαλευόμενος, μηδ᾽ ἐπαιρόμενος
not-even at-all at the shouts being-shaken nor being-lifted-up
τοῖς ἐπαίνοις, εὖ μάλα τῆς ἐκ θεοῦ συναισθόμενος
by-the praises well very the from God having-perceived
βοηθείας, αὐτίκα τοῦ σωτηρίου τρόπαιον πάθους ὑπὸ
help straightway of-the saving (a)-trophy passion under
χεῖρα ἰδίας εἰκόνος ἀνατεθῆναι προστάττει· καὶ δὴ τὸ
(the)-hand of-own statue to-be-set-up orders and indeed the
σωτήριον τοῦ σταυροῦ σημεῖον ἐπὶ τῇ δεξιᾷ κατέχοντα
saving of-the cross sign in the right-hand holding
αὐτὸν ἐν τῷ μάλιστα τῶν ἐπὶ Ῥώμης δεδημοσιευμένῳ
him in the most of-the at Rome public
τόπῳ στήσαντες, αὐτὴν δὴ ταύτην ὑπογραφὴν ἐντάξαι
place having-set-up very indeed this inscription to-insert
ῥήμασιν αὐτοῖς τῇ Ῥωμαίων ἐγκελεύεται φωνῇ·
in-words themselves in-the of-Romans orders language
“τούτῳ τῷ σωτηριώδει σημείῳ, τῷ ἀληθινῷ ἐλέγχῳ 9.11
by-this the saving sign the true proof
τῆς ἀνδρείας, τὴν πόλιν ὑμῶν ἀπὸ ζυγοῦ τοῦ τυράννου
of-the courage the city your from (the)-yoke of-the tyrant
διασωθεῖσαν ἠλευθέρωσα· ἔτι μὴν καὶ τὴν σύγκλητον
saved I-freed further indeed also the senate
καὶ τὸν δῆμον Ῥωμαίων τῇ ἀρχαίᾳ ἐπιφανείᾳ καὶ τῇ
and the people of-Romans to-the ancient distinction and the
λαμπρότητι ἐλευθερώσας ἀποκατέστησα.”
splendor having-freed I-restored
καὶ δὴ ἐπὶ τούτοις αὐτός τε Κωνσταντῖνος καὶ 9.12
and indeed after these(-things) himself both Constantine and
σὺν αὐτῷ βασιλεὺς Λικίννιος (οὔπω τότε ἐφ᾽ ἧν
with him (the)-emperor Licinius not-yet then to which

ὕστερον ἐκπέπτωκε μανίαν τὴν διάνοιαν ἐκτραπεὶς) θεὸν
later he-fell madness the mind having-been-turned God
τὸν τῶν ἀγαθῶν ἁπάντων αὐτοῖς αἴτιον εὐμενίσαντες
the(-one) of-the good(-things) all for-them cause having-propitiated
ἄμφω μιᾷ βουλῇ καὶ γνώμῃ νόμον ὑπὲρ Χριστιανῶν
both with-one counsel and judgment (a)-law for Christians
τελεώτατον πληρέστατα διατυποῦνται, καὶ τῶν
most-perfect most-fully draw-up and of-the(-things)
πεπραγμένων εἰς αὐτοὺς ἐκ θεοῦ τὰ παράδοξα, τά
done for them from God the wonders the(-things)
τε τῆς κατὰ τοῦ τυράννου νίκης, καὶ τὸν νόμον αὐτὸν
both of-the over the tyrant victory and the law itself
Μαξιμίνῳ τῶν ἐπ᾽ ἀνατολῆς ἐθνῶν ἔτι δυναστεύοντι,
to-Maximin of-the in (the)-east nations still ruling
φιλίαν τε πρὸς αὐτοὺς ὑποκοριζομένῳ, διαπέμπονται.
friendship and toward them pretending they-send
9.13 ὁ δ᾽ οἷα τύραννος περιαλγὴς ἐφ᾽ οἷς ἔγνω
he and as (a)-tyrant very-pained at what he-learned
γεγενημένος, εἶτα μὴ δοκεῖν ἑτέροις εἶξαι βουλόμενος,
having-become then not to-seem to-others to-yield wishing
μηδ᾽ αὖ παρεκθέσθαι τὸ κελευσθὲν δέει τῶν
nor again to-suppress the(-thing) ordered from-fear of-the(-men)
προστεταχότων, ὡσὰν ἐξ ἰδίας αὐθεντίας τοῖς ὑπ᾽
having-ordered as from own authority to-the under
αὐτὸν ἡγεμόσι τοῦτο πρῶτον ὑπὲρ Χριστιανῶν ἐπάναγκες
him governors this first for Christians of-necessity
διαχαράττει τὸ γράμμα, τὰ μηδέπω ποτὲ πρὸς αὐτοῦ
writes the letter the(-things) not-yet ever by him
πεπραγμένα ἐπιπλάστως αὐτὸς καθ᾽ ἑαυτοῦ ψευδόμενος.
done fictitiously himself against himself falsely-stating
Ἀντίγραφον ἑρμηνείας ἐπιστολῆς τοῦ τυράννου Μαξιμίνου.
copy of-(the)-translation of-(the)-letter of-the tyrant Maximin

“ Ἰόβιος Μαξιμῖνος σεβαστὸς Σαβίνῳ. καὶ παρὰ τῇ 9.14
Jovius Maximin Augustus to-Sabinus both with the
σῇ στιβαρότητι καὶ παρὰ πᾶσιν ἀνθρώποις φανερὸν
your firmness and with all men manifest
εἶναι πέποιθα τοὺς δεσπότας ἡμῶν Διοκλητιανὸν καὶ
to-be I-am-persuaded the masters our Diocletian and
Μαξιμιανὸν, τοὺς ἡμετέρους πατέρας, ἡνίκα συνεῖδον
Maximian the our fathers when they-perceived
σχεδὸν ἅπαντας ἀνθρώπους, καταλειφθείσης τῆς τῶν
nearly all men having-been-forsaken the of-the
θεῶν θρησκείας, τῷ ἔθνει τῶν Χριστιανῶν ἑαυτοὺς
gods worship with-the nation of-the Christians themselves
συμμεμιχότας, ὀρθῶς διατεταχέναι, πάντας ἀνθρώπους
having-mingled rightly to-have-ordained all men
τοὺς ἀπὸ τῆς τῶν αὐτῶν θεῶν τῶν ἀθανάτων θρησκείας
the(-ones) from the of-the same gods the immortal worship
ἀναχωρήσαντας προδήλῳ κολάσει καὶ τιμωρίᾳ εἰς τὴν
having-withdrawn by-manifest chastisement and punishment to the
θρησκείαν τῶν θεῶν ἀνακληθῆναι.
worship of-the gods to-be-recalled
ἀλλ’ ὅτε ἐγὼ εὐτυχῶς τὸ πρῶτον εἰς τὴν ἀνατολὴν 9.15
but when I fortunately the first(-time) into the east
παρεγενόμην, καὶ ἔγνων εἴς τινας τόπους πλείστους τῶν
came and learned into some places very-many of-the
ἀνθρώπων τὰ δημόσια ὠφελεῖν δυναμένους ὑπὸ τῶν
men the public(-affairs) to-benefit able by the
δικαστῶν διὰ τὴν προειρημένην αἰτίαν ἐξορίζεσθαι,
judges because-of the aforesaid cause to-be-banished
ἑκάστῳ τῶν δικαστῶν ἐντολὰς δέδωκα, ὥστε μηδένα
to-each of-the judges orders I-have-given so-that no-one
τούτων τοῦ λοιποῦ προσφέρεσθαι τοῖς ἐπαρχιώταις
of-these for-the future to-behave toward-the provincials

ἀπηνῶς, ἀλλὰ μᾶλλον κολακείᾳ καὶ προτροπαῖς πρὸς
harshly but rather by-flattery and exhortations to
τὴν τῶν θεῶν θρησκείαν αὐτοὺς ἀνακαλεῖν.
the of-the gods worship them to-recall

9.16 τηνικαῦτα οὖν ὅτε ἀκολούθως τῇ κελεύσει τῇ ἐμῇ
at-that-time then when in-accordance-with the command the my
ὑπὸ τῶν δικαστῶν ἐφυλάττετο τὰ προστεταγμένα,
by the judges were-kept the(-things) ordered
συνέβαινε μηδένα ἐκ τῶν τῆς ἀνατολῆς μερῶν μήτε
it-happened no-one from the of-the east parts neither
ἐξόριστον μήτε ἐνύβριστον γενέσθαι, ἀλλὰ μᾶλλον ἐκ
banished nor insulted to-become but rather from
τοῦ μὴ βαρέως κατ᾽ αὐτῶν τι γίνεσθαι εἰς τὴν τῶν
the not heavily against them anything to-happen to the of-the
θεῶν θρησκείαν ἀνακεκλῆσθαι.
gods worship to-have-been-recalled

9.17 μετὰ δὲ ταῦτα, ὅτε τῷ παρελθόντι ἐνιαυτῷ εὐτυχῶς
after and these-things when in-the past year fortunately
ἐπέβην εἰς τὴν Νικομήδειαν κἀκεῖ διετέλουν, παρεγένοντο
I-went-up to — Nicomedia and-there stayed came
πολῖται τῆς αὐτῆς πόλεως πρός με ἅμα μετὰ τῶν ξοάνων
citizens of-the same city to me together with the images
τῶν θεῶν, μειζόνως δεόμενοι, ἵνα παντὶ τρόπῳ τὸ τοιοῦτον
of-the gods greatly begging that in-every manner the such
ἔθνος μηδαμῶς ἐπιτρέποιτο ἐν τῇ αὐτῶν πατρίδι οἰκεῖν.
nation in-no-way should-be-permitted in the their fatherland to-dwell

9.18 ἀλλ᾽ ὅτε ἔγνων πλείστους τῆς αὐτῆς θρησκείας ἄνδρας ἐν
but when I-learned very-many of-the same religion men in
αὐτοῖς τοῖς μέρεσιν οἰκεῖν, οὕτως αὐτοῖς τὰς ἀποκρίσεις
very the parts to-dwell thus to-them the answers
ἀπένεμον, ὅτι τῇ μὲν αἰτήσει αὐτῶν ἀσμένως χάριν
I-gave that for-the indeed request their gladly thanks

ἔσχηκα, ἀλλ᾽ οὐ παρὰ πάντων τοῦτο αἰτηθὲν κατεῖδον· εἰ
I-have-had but not from all this asked I-perceived if
μὲν οὖν τινὲς εἶεν τῇ αὐτῇ δεισιδαιμονίᾳ διαμένοντες,
indeed then some should-be in-the same superstition persisting
οὕτως ἕνα ἕκαστον ἐν τῇ ἰδίᾳ προαιρέσει τὴν βούλησιν ἔχειν,
thus one each in the own choice the will to-have
καὶ εἰ βούλοιντο τὴν τῶν θεῶν θρησκείαν ἐπιγινώσκειν.
and if they-should-wish the of-the gods worship to-acknowledge
ὅμως καὶ τοῖς τῆς αὐτῆς πόλεως Νικομηδεῦσι, καὶ 9.19
nevertheless also to-the of-the same city Nicomedians and
ταῖς λοιπαῖς πόλεσιν, αἱ καὶ αὐταὶ εἰς τοσοῦτον
to-the rest cities which also themselves to so-great(-a-degree)
τὴν ὁμοίαν αἴτησιν περισπουδάστως πρός με πεποιήκασιν,
the like request earnestly to me have-made
δηλονότι ἵνα μηδὲ εἷς τῶν Χριστιανῶν ταῖς πόλεσιν
namely that not-even one of-the Christians in-the cities
ἐνοικοίη, ἀνάγκην ἔσχον προσφιλῶς ἀποκρίνασθαι, ὅτι
should-dwell necessity I-had kindly to-answer that
δὴ αὐτὸ τοῦτο καὶ οἱ ἀρχαῖοι αὐτοκράτορες πάντες
indeed very this also the ancient emperors all
διεφύλαξαν, καὶ αὐτοῖς τοῖς θεοῖς, δι᾽ οὓς πάντες
kept and to-very the gods because-of whom all
ἄνθρωποι καὶ αὐτὴ ἡ τῶν δημοσίων διοίκησις συνίσταται,
men and itself the of-the public(-affairs) administration is-constituted
ἤρεσεν οὖν, ὥστε τὴν τοσαύτην αἴτησιν, ἣν ὑπὲρ τῆς
it-pleased then so-that the so-great request which for the
θρησκείας τοῦ θείου αὐτῶν ἀναφέρουσι, βεβαιώσαιμι.
worship of-the divinity their they-bring I-should-confirm
τοιγαροῦν εἰ καὶ τὰ μάλιστα καὶ τῇ σῇ καθοσιώσει πρὸ 9.20
therefore if even the most also to-the your devotion before
τούτου τοῦ χρόνου διὰ γραμμάτων ἐπέσταλται, καὶ δι᾽
this the time through letters has-been-written and through

ἐντολῶν ὁμοίως κεκέλευσται, ἵνα μὴ κατὰ τῶν ἐπαρχιωτῶν
orders likewise has-been-commanded that not against the provincials
τὸ τοιοῦτον ἔθνος διαφυλάξαι ἐπιμεληθέντων μηδὲν τραχέως,
the such nation to-keep having-taken-care nothing harshly
ἀλλὰ ἀνεξικάκως καὶ συμμέτρως συμπεριφέροιντο αὐτοῖς,
but forbearingly and moderately they-should-deal with-them
ὅμως ἵνα μήτε ὑπὸ τῶν βενεφικιαλίων μήτε ὑπ᾽
nevertheless that neither by the beneficiarii nor by
ἄλλων τῶν τυχόντων ὕβρεις μηδὲ σεισμοὺς ὑπομένοιεν,
others of-the ordinary insults nor extortions they-should-endure
ἀκόλουθον ἐνόμισα καὶ τούτοις τοῖς γράμμασι τὴν σὴν
consistent I-thought also by-these the letters the your
στιβαρότητα ὑπομνῆσαι, ὅπως ταῖς κολακείαις καὶ ταῖς
firmness to-remind that by-the flatteries and the
προτροπαῖς μᾶλλον τὴν τῶν θεῶν ἐπιμέλειαν τοὺς
exhortations rather the of-the gods care the
ἡμετέρους ἐπαρχιώτας ποιήσειας ἐπιγινώσκειν.
our provincials you-may-make to-acknowledge

9.21 ὅθεν εἴ τις τῇ αὐτοῦ προαιρέσει τὴν θρησκείαν
whence if anyone by-the his-own choice the worship
τῶν θεῶν ἐπιγνωστέον προσλάβοι, τούτους ὑποδέξασθαι
of-the gods to-be-acknowledged should-take-up these to-receive
προσήκει, εἰ δέ τινες τῇ ἰδίᾳ θρησκείᾳ ἀκολουθεῖν
befits if but some to-the own worship to-follow
βούλοιντο, ἐν τῇ αὐτῶν ἐξουσίᾳ καταλίποις.
should-wish in the their power you-should-leave(-them)

9.22 διόπερ ἡ σὴ καθοσίωσις τὸ ἐπιτραπέν σοι διαφυλάττειν
therefore the your devotion the(-thing) entrusted to-you to-keep
ὀφείλει, καὶ μηδενὶ ἐξουσία δοθῇ ὥστε τοὺς ἡμετέρους
ought and to-no-one power be-given so-that the our
ἐπαρχιώτας ὕβρεσι καὶ σεισμοῖς ἐπιτρῖψαι, ὁπότε, ὥσπερ
provincials with-insults and extortions to-wear-out since as

προγέγραπται, ταῖς προτροπαῖς μᾶλλον καὶ ταῖς κολακείαις
has-been-written-above by-the exhortations rather and the flatteries
πρὸς τὴν τῶν θεῶν θρησκείαν τοὺς ἡμετέρους ἐπαρχιώτας
to the of-the gods worship the our provincials
προσήκει ἀνακαλεῖν. ἵνα δὲ αὕτη ἡμῶν ἡ κέλευσις εἰς γνῶσιν
it-befits to-recall that and this our the command to knowledge
πάντων τῶν ἐπαρχιωτῶν τῶν ἡμετέρων ἔλθῃ, διατάγματι
of-all the provincials the our may-come by-(a)-decree
ὑπὸ σοῦ προτεθέντι τὸ κεκελευσμένον ὀφείλεις δηλῶσαι.”
by you set-forth the(-thing) commanded you-ought to-make-known
ταῦθ’ ὑπὸ τῆς ἀνάγκης ἐκβεβιασμένος, ἀλλ’ οὐ κατὰ 9.23
these(-things) by the necessity forced but not according-to
γνώμην τὴν αὑτοῦ διακελευσαμένος, οὐκέτ’ ἀληθὴς οὐδ’
judgment the his-own having-ordered no-longer true nor
ἀξιόπιστος παρὰ τοῖς πᾶσιν ἦν, τῆς πρόσθεν ἤδη μετὰ
trustworthy among the all was-he of-the before already after
τὴν ὁμοίαν συγχώρησιν παλιμβόλου καὶ διεψευσμένης
the like concession fickle and false
αὐτοῦ γνώμης ἕνεκα.
his judgment for-the-sake
οὔκουν ἐτόλμα τις τῶν ἡμετέρων σύνοδον συγκροτεῖν, 9.24
not-therefore dared any of-the ours (an)-assembly to-convene
οὐδ’ ἑαυτὸν ἐν φανερῷ καταστήσασθαι, ὅτι μηδὲ τοῦτ’
nor himself in public to-place because not-even this
ἤθελεν αὐτῷ τὸ γράμμα, αὐτὸ μόνον τὸ ἀνεπηρέαστον
wished for-him the letter itself only the unmolested(-state)
ἡμῖν ἐπιτρέπον φυλάττεσθαι, οὐ μὴν συνόδους ἐπικελεῦον
for-us permitting to-be-kept not indeed assemblies commanding
ποιεῖσθαι, οὐδ’ οἴκους ἐκκλησιῶν οἰκοδομεῖν, οὐδ’ ἄλλο
to-make nor houses of-churches to-build nor other
τι τῶν συνήθων ἡμῖν διαπράττεσθαι.
anything of-the customary(-things) for-us to-perform

9.25 καίτοι γε ταῦθ' οἱ τῆς εἰρήνης καὶ εὐσεβείας
and-yet at-least these(-things) the(-men) of-the peace and piety
προήγοροι Κωνσταντῖνος καὶ Λικίννιος αὐτῷ τε
advocates Constantine and Licinius to-him both
ἐπιτρέπειν ἐπεστάλκεσαν καὶ τοῖς ὑπ' αὐτοὺς ἅπασι διὰ
to-permit had-written and to-the under them all through
προγραμμάτων καὶ νόμων συγκεχωρήκεσαν. οὐ μὴν ὁ
edicts and laws had-conceded not indeed the
δυσσεβέστατος ταύτῃ ἐνδοῦναι προῄρητο, εἰ μὴ ὅτε πρὸς
most-impious in-this-way to-yield had-chosen if not when by
τῆς θείας συνελαθεὶς δίκης ὕστατόν γε ἄκων ἐπὶ τοῦτ'
the divine driven justice at-last at-least unwilling to this
ἦχθη.
he-was-brought

10.1 Ἐκπεριῆλθε δ' αὐτὸν τοιαύτη τις αἰτία· τὸ μέγεθος τῆς
went-round and him such some cause the greatness of-the
οὐ κατ' ἀξίαν ἐπιτραπείσης ἡγεμονίας αὐτῷ μηκέθ' οἷός
not according-to worth entrusted government to-him no-longer able
τε φέρειν, ἀλλὰ δι' ἀπειρίαν σώφρονος καὶ βασιλικοῦ
— to-bear but through inexperience of-prudent and imperial
λογισμοῦ ἀπειροκάλως τοῖς πράγμασιν ἐγχειρῶν, ἐπὶ πᾶσί
reasoning tastelessly the affairs attempting in all
τε ὑπερηφανίας μεγαλαυχίᾳ τὴν ψυχὴν ἀλόγως ἀρθεὶς, ἤδη
and of-arrogance with-boasting the soul unreasonably lifted already
καὶ κατὰ τῶν τῆς βασιλείας κοινωνῶν, τὰ πάντα αὐτοῦ
also against the of-the reign partners in-the all(-things) than-him
διαφερόντων γένει καὶ τροφῇ καὶ παιδείᾳ, ἀξιώματί τε καὶ
differing in-family and upbringing and education in-rank both and
συνέσει, καὶ τῷ γε πάντων κορυφαιοτάτῳ, σωφροσύνῃ
understanding and in-the at-least of-all most-paramount in-prudence

καὶ τῇ περὶ τὸν ἀληθῆ θεὸν εὐσεβείᾳ, τολμᾶν ὥρμητο
and in-the toward the true God piety to-dare he-rushed
θρασύνεσθαι, καὶ πρῶτον ἑαυτὸν ταῖς τιμαῖς ἀναγορεύειν.
to-be-insolent and first himself in-the honors to-proclaim
ἐπιτείνας δὲ εἰς ἀπόνοιαν τὰ τῆς μανίας, συνθήκας 10.2
having-stretched and into madness the(-things) of-the frenzy treaties
ἃς πρὸς Λικίννιον πεποίητο παρασπονδήσας, πόλεμον
which with Licinius he-had-made having-violated war
ἄσπονδον αἴρεται· εἶτ' ἐν βραχεῖ τὰ πάντα κυκήσας,
implacable raises then in short(-time) the all(-things) having-stirred-up
πᾶσάν τε πόλιν ἐκταράξας, καὶ πᾶν στρατόπεδον μυριάδων
every both city having-disturbed and every army of-myriads
τὸ πλῆθος ἀνηρίθμων συναγαγὼν, ἔξεισιν εἰς μάχην αὐτῷ
the multitude countless having-gathered he-goes-out to battle with-him
παραταξάμενος, δαιμόνων ἐλπίσιν ὧν δὴ ᾤετο θεῶν
having-drawn-up of-demons by-hopes whom indeed he-thought gods
καὶ ταῖς τῶν ὁπλιτῶν μυριάσι τὴν ψυχὴν ἐπηρμένος.
and by-the of-the hoplites myriads the soul lifted-up
καὶ δὴ συμβαλὼν εἰς χεῖρας ἔρημος τῆς ἐκ θεοῦ 10.3
and indeed having-engaged to hands bereft of-the from God
καθίσταται ἐπισκοπῆς, Λικιννίῳ τῆς νίκης ἐξ αὐτοῦ τοῦ
becomes oversight to-Licinius the victory from very the
πάντων ἑνὸς καὶ μόνου θεοῦ πρυτανευθείσης.
of-all one and only God having-been-dispensed
ἀπόλλυσι δὴ πρῶτον τὸ ἐφ' ᾧ πεποίθει ὁπλιτικὸν, 10.4
he-loses indeed first the in which he-had-trusted hoplite-force
τῶν τε ἀμφ' αὐτὸν δορυφόρων γυμνὸν καὶ πάντων
of-the both around him guards naked and of-all
ἔρημον αὐτὸν καταλελοιπότων, καὶ τῷ τότε κρατοῦντι
bereft him having-left and to-the then ruling
προσπεφευγότων, ὑπεκδὺς ὁ δείλαιος ὡς τάχιστα τὸν
having-fled having-slipped-off the wretched as quickly-as-possible the

οὐ πρέποντα αὐτῷ βασιλικὸν κόσμον, δειλῶς καὶ δυσγενῶς
not befitting him imperial attire cowardly and ignobly
καὶ ἀνάνδρως ὑποδύνει τὸ πλῆθος, κἄπειτα διαδιδράσκει,
and unmanly he-slips-into the crowd and-then runs-away
κρυπταζόμενός τε ἀνὰ τοὺς ἀγροὺς καὶ τὰς κώμας μόλις
hiding and throughout the fields and the villages scarcely
τῶν πολεμίων τὰς χεῖρας, τὰ τῆς σωτηρίας αὐτῷ
of-the enemies the hands the(-things) of-the safety for-himself
προνοούμενος, διέξεισιν, ἔργοις αὐτοῖς εὖ μάλα πιστοὺς καὶ
providing he-escapes by-deeds themselves well very trustworthy and
ἀληθεῖς τοὺς θείους ἀποφήνας χρησμοὺς, ἐν οἷς εἴρηται·
true the divine having-shown oracles in which it-has-been-said
10.5 "οὐ σώζεται βασιλεὺς διὰ πολλὴν δύναμιν, καὶ γίγας
not is-saved (a)-king through great power and (a)-giant
οὐ σωθήσεται ἐν πλήθει ἰσχύος αὐτοῦ· ψευδὴς ἵππος εἰς
not will-be-saved in multitude of-strength his false (a)-horse for
σωτηρίαν, ἐν δὲ πλήθει δυνάμεως αὐτοῦ οὐ σωθήσεται.
safety in and multitude of-power his not will-be-saved
ἰδοὺ οἱ ὀφθαλμοὶ κυρίου ἐπὶ τοὺς φοβουμένους αὐτὸν,
behold the eyes of-(the)-Lord upon the(-ones) fearing him
τοὺς ἐλπίζοντας ἐπὶ τὸ ἔλεος αὐτοῦ, ῥύσασθαι ἐκ
the(-ones) hoping on the mercy his to-deliver from
θανάτου τὰς ψυχὰς αὐτῶν."
death the souls their
10.6 οὕτω δῆτα αἰσχύνης ἔμπλεως ὁ τύραννος ἐπὶ τὰ καθ'
thus indeed of-shame full the tyrant to the belonging-to
ἑαυτὸν ἐλθὼν μέρη, πρῶτον μὲν ἐμμανεῖ θυμῷ πολλοὺς
himself having-come parts first indeed in-frenzied rage many
ἱερεῖς καὶ προφήτας τῶν πάλαι θαυμαζομένων αὐτῷ
priests and prophets of-the of-old admired by-him
θεῶν, ὧν δὴ τοῖς χρησμοῖς ἀναρριπισθεὶς τὸν πόλεμον
gods whose indeed by-the oracles having-been-fanned-up the war

ἤρατο, ὡσὰν γόητας καὶ ἀπατεῶνας καὶ ἐπὶ πᾶσι
he-had-raised as sorcerers and deceivers and in all
προδότας τῆς αὐτοῦ γενομένους σωτηρίας ἀναιρεῖ, εἶτα
betrayers of-the his having-become safety he-kills then
δὴ δοὺς δόξαν τῷ τῶν Χριστιανῶν θεῷ, νόμον τε
indeed having-given glory to-the of-the Christians God (a)-law and
τὸν ὑπὲρ ἐλευθερίας αὐτῶν τελεώτατα καὶ πληρέστατα
the(-law) for freedom their most-perfectly and most-fully
διαταξάμενος, δυσθανατήσας αὐτίκα, μηδεμιᾶς αὐτῷ
having-ordained having-died-hard straightway no for-him
χρόνου δοθείσης προθεσμίας τελευτᾷ τὸν βίον. ὁ δὲ
of-time having-been-given term he-ends the life the and
καταπεμφθεὶς ὑπ᾽ αὐτοῦ νόμος τοιοῦτος ἦν· Ἀντίγραφον
sent-down by him law such was copy
ἑρμηνείας τῆς τοῦ τυράννου ὑπὲρ Χριστιανῶν διατάξεως,
of-(the)-translation of-the of-the tyrant for Christians ordinance
ἐκ Ῥωμαϊκῆς γλώττης εἰς τὴν ἑλλάδα μεταληφθείσης.
from Roman language into the Greek translated
“Αὐτοκράτωρ Καῖσαρ Γάϊος Οὐαλέριος Μαξιμῖνος, 10.7
Emperor Caesar Gaius Valerius Maximin
Γερμανικὸς, Σαρματικὸς, εὐσεβὴς, εὐτυχὴς, ἀνίκητος,
Germanicus Sarmaticus Pius Felix Invincible
σεβαστός. κατὰ πάντα τρόπον ἡμᾶς διηνεκῶς τῶν
Augustus in every manner us continually of-the
ἐπαρχιωτῶν τῶν ἡμετέρων τοῦ χρησίμου προνοεῖσθαι, καὶ
provincials the our of-the useful to-provide and
ταῦτα αὐτοῖς βούλεσθαι παρέχειν, οἷς τὰ λυσιτελῆ
these-things to-them to-wish to-furnish by-which the profitable(-things)
πάντων μάλιστα κατορθοῦται, καὶ ὅσα τῆς λυσιτελείας
of-all most are-achieved and as-many-as of-the profit
καὶ τῆς χρησιμότητός ἐστι τῆς κοινῆς αὐτῶν, καὶ ὁποῖα
and of-the usefulness are the common their and what-sort

πρὸς τὴν δημοσίαν λυσιτέλειαν ἁρμόζει, καὶ ταῖς ἑκάστων
for the public profit is-fitting and to-the of-each
διανοίαις προσφιλῆ τυγχάνει, οὐδένα ἀγνοεῖν, ἀλλ᾽ ἕκαστον
minds dear happen no-one to-be-ignorant but each
ἀνατρέχειν ἐπ᾽ αὐτῷ τὸ γινόμενον, γινώσκειν τε ἕκαστον
to-run-back to himself the(-thing) happening to-know both each
τῶν ἀνθρώπων καὶ ἔχειν ἐν ἑαυτῷ, δῆλον εἶναι πιστεύομεν.
of-the men and to-have in himself clear to-be we-believe

10.8 ὁπότε τοίνυν πρὸ τούτου δῆλον γέγονε τῇ γνώσει τῇ
since therefore before this clear has-become to-the knowledge the
ἡμετέρᾳ ἐκ ταύτης τῆς προφάσεως, ἐξ ἧς κεκελευσμένον
our from this the pretext from which ordered
ἦν ὑπὸ τῶν θειοτάτων Διοκλητιανοῦ καὶ Μαξιμιανοῦ
it-had-been by the most-divine Diocletian and Maximian
τῶν γονέων τῶν ἡμετέρων τὰς συνόδους τῶν Χριστιανῶν
the parents the our the assemblies of-the Christians
ἐξῃρῆσθαι, πολλοὺς σεισμοὺς καὶ ἀποστερήσεις ὑπὸ
to-be-removed many extortions and deprivations by
τῶν ὀφφικιαλίων γεγενῆσθαι, καὶ εἰς τοὐπιὸν δὲ τοῦτο
the officials to-have-happened and to the-future and this
προχωρεῖν κατὰ τῶν ἐπαρχιωτῶν τῶν ἡμετέρων, ὧν
to-proceed against the provincials the our of-whom
μάλιστα πρόνοιαν τὴν προσήκουσαν γίνεσθαι σπουδάζομεν,
most forethought the fitting to-be-taken we-are-eager
τῶν οὐσιῶν τῶν ἰδίων αὐτῶν κατατριβομένων, δοθέντων
the properties the own their being-worn-away having-been-given
γραμμάτων πρὸς τοὺς ἡγεμόνας ἑκάστης ἐπαρχίας τῷ
letters to the governors of-each province in-the
παρελθόντι ἐνιαυτῷ ἐνομοθετήσαμεν, ἵν᾽ ἐάν τις βούλοιτο
past year we-legislated that if anyone should-wish
τῷ τοιούτῳ ἔθει ἢ τῇ αὐτῇ φυλακῇ τῆς αὐτῆς θρησκείας
the such custom or the same observance of-the same religion

ἕπεσθαι, τοῦτον ἀνεμποδίστως ἔχεσθαι τῆς προθέσεως τῆς
to-follow this-one unhindered to-hold-to the purpose the
ἑαυτοῦ, καὶ ὑπὸ μηδενὸς ἐμποδίζεσθαι μηδὲ κωλύεσθαι,
his-own and by no-one to-be-hindered nor prevented
καὶ εἶναι αὐτοῖς εὐχέρειαν, ἄνευ τινὸς φόβου καὶ ὑποψίας
and to-be for-them freedom without any fear and suspicion
τοῦθ' ὅπερ ἑκάστῳ ἀρέσκει ποιεῖν.
this which each pleases to-do
πλὴν οὐδὲ νῦν λαθεῖν ἡμᾶς ἐδυνήθη, ὅτι τινὲς τῶν 10.9
except not-even now to-escape-notice us could that some of-the
δικαστῶν παρενεθυμοῦντο τὰς ἡμετέρας κελεύσεις, καὶ
judges disregarded the our commands and
διστάζειν τοὺς ἡμετέρους ἀνθρώπους περὶ τὰ προστάγματα
to-hesitate the our people about the ordinances
τὰ ἡμέτερα παρεσκεύασαν, καὶ ὀκνηρότερον προσιέναι
the our caused and more-reluctantly to-approach
ταύταις ταῖς θρησκείαις, αἷς ἦν ἀρεστὸν αὐτοῖς, ἐποίησαν.
these the religions which was pleasing to-them made
ἵνα τοίνυν εἰς τὸ ἐξῆς πᾶσα ὑποψία ἀμφιβολίας τοῦ φόβου 10.10
that therefore for the future every suspicion of-doubt of-the fear
περιαιρεθῇ, τοῦτο τὸ διάταγμα προτεθῆναι ἐνομοθετήσαμεν,
may-be-removed this the decree to-be-set-forth we-legislated
ἵνα πᾶσι δῆλον γένηται ἐξεῖναι τούτοις, οἵτινες ταύτην
that to-all clear it-may-become to-be-allowed to-these who this
τὴν αἵρεσιν καὶ τὴν θρησκείαν μετιέναι βούλονται, ἐκ
the sect and the religion to-pursue wish from
ταύτης τῆς δωρεᾶς τῆς ἡμετέρας, καθὼς ἕκαστος βούλεται
this the gift the our as each wishes
ἢ ἡδέα αὐτῷ ἐστιν, οὕτως προσιέναι τῇ θρησκείᾳ ταύτῃ,
or pleasant to-him it-is so to-approach the religion this

ἣν ἐξ ἔθους θρησκεύειν εἵλετο· καὶ τὰ κυριακὰ δὲ τὰ
which from custom to-practice he-chose and the churches and the
οἰκεῖα ὅπως κατασκευάζοιεν, συγχωρεῖται.
own that they-may-build it-is-conceded

10.11 ἵνα μέντοι καὶ μείζων γένηται ἡ ἡμετέρα δωρεὰ, καὶ τοῦτο
that however also greater may-become the our gift also this
νομοθετῆσαι κατηξιώσαμεν, ἵν' εἴ τινες οἰκίαι καὶ χωρία
to-legislate we-have-deemed-worthy that if any houses and lands
τοῦ δικαίου τῶν Χριστιανῶν πρὸ τούτου ἐτύγχανον ὄντα,
of-the right of-the Christians before this happened being
ἐκ τῆς κελεύσεως τῶν γονέων τῶν ἡμετέρων εἰς τὸ δίκαιον
from the command of-the parents of-the our into the right
μετέπεσε τοῦ φίσκου, ἢ ὑπό τινος κατελήφθη πόλεως, εἴτε
fell of-the fisc or by some was-seized city whether
διάπρασις τούτων γεγένηται, εἴτε εἰς χάρισμα δέδοταί
sale of-these has-happened or as gift has-been-given
τινι, ταῦτα πάντα εἰς τὸ ἀρχαῖον δίκαιον τῶν Χριστιανῶν
to-anyone these-things all to the ancient right of-the Christians
ἀνακληθῆναι ἐκελεύσαμεν, ἵνα καὶ ἐν τούτῳ τῆς ἡμετέρας
to-be-recalled we-ordered that also in this of-the our
εὐσεβείας καὶ τῆς προνοίας αἴσθησιν πάντες λάβωσιν."
piety and of-the providence perception all may-take

10.12 αὗται τοῦ τυράννου φωναὶ, οὐδ' ὅλον ἐνιαυτὸν
these of-the tyrant (the)-words not-even (a)-whole year
τῶν κατὰ Χριστιανῶν ἐν στήλαις ἀνατεθειμένων αὐτῷ
than-the against Christians on pillars set-up by-him
διαταγμάτων ὑστερίσασαι. καὶ παρ' ᾧ γε μικρῷ
decrees coming-later and with whom at-least (a)-little
πρόσθεν δυσσεβεῖς ἐδοκοῦμεν καὶ ἄθεοι καὶ παντὸς ὄλεθροι
before impious we-seemed and godless and of-all destroyers
τοῦ βίου, ὡς μὴ ὅτι γε πόλιν, ἀλλ' οὐδὲ χώραν
the life so-that not to-say at-least (a)-city but not-even (the)-country

οὐδ᾽ ἐρημίαν οἰκεῖν ἐπιτρέπεσθαι, παρὰ τούτῳ διατάξεις
nor desert to-inhabit to-be-permitted with this-one ordinances
ὑπὲρ Χριστιανῶν καὶ νομοθεσίαι συνετάττοντο, καὶ οἱ
for Christians and enactments were-drawn-up and the(-ones)
πρὸ βραχέος πυρὶ καὶ σιδήρῳ, θηρίων τε καὶ οἰωνῶν
before short(-time) by-fire and iron of-beasts both and birds
βορᾷ πρὸ ὀφθαλμῶν αὐτοῦ τοῦ τυράννου διαφθειρόμενοι,
as-food before (the)-eyes of-very the tyrant being-destroyed
καὶ πᾶν εἶδος κολάσεως καὶ τιμωρίας, ἀπαλλαγῆς τε βίου
and every kind of-chastisement and punishment of-departure and of-life
οἰκτρότατα ὡσὰν ἄθεοι καὶ δυσσεβεῖς ὑπομένοντες, οὗτοι
most-pitiably as godless and impious enduring these
νῦν πρὸς αὐτοῦ καὶ θρησκεύειν ὁμολογοῦνται θρησκείαν,
now by him both to-practice are-acknowledged religion
καὶ ἐπισκευάζειν κυριακὰ ἐπιτρέπονται, καὶ δικαίων τινῶν
and to-repair churches are-permitted and of-rights some
αὐτοῖς μετεῖναι αὐτὸς ὁ τύραννος μαρτυρεῖ καὶ ὁμολογεῖ.
for-them to-have-a-share himself the tyrant testifies and acknowledges
καὶ δὴ τοιαῦτα ἐξομολογησάμενος, ὥσπερ τινὸς τυχὼν 10.13
and indeed such(-things) having-confessed as-if some having-obtained
εὐεργεσίας, τούτων δὴ αὐτῶν ἕνεκα ἧττον ἢ παθεῖν
benefit these indeed themselves for-the-sake less than to-suffer
αὐτὸν ἐχρῆν δήπου παθὼν, ἀθρόᾳ θεοῦ πληγεὶς
him it-was-fitting surely having-suffered with-sudden of-God struck
μάστιγι ἐν δευτέρᾳ τοῦ πολέμου συμβολῇ καταστρέφει.
scourge in (the)-second of-the war engagement he-ends
γίνεται δ᾽ αὐτῷ τὰ τῆς καταστροφῆς οὐχ οἷα 10.14
happens and to-him the(-things) of-the end not such-as
στρατηγοῖς πολεμάρχαις, ὑπὲρ ἀρετῆς καὶ γνωρίμων
to-generals war-leaders for virtue and friends
πολλάκις ἀνδριζομένοις ἐν πολέμῳ, τὴν εὐκλεῆ τελευτὴν
often being-brave in war the glorious death

εὐθαρσῶς ὑπομεῖναι συνέβη, ἀλλὰ γὰρ ἅτε τις
courageously to-endure happened but for inasmuch-as some(-one)
δυσσεβὴς καὶ θεομάχος, τῆς παρατάξεως ἔτ' αὐτῷ πρὸ τοῦ
impious and God-fighting the battle-line still for-him before the
πεδίου συνεστώσης, οἴκοι μένων αὐτὸς καὶ κρυπταζόμενος
plain being-assembled at-home remaining himself and hiding
τὴν προσήκουσαν τιμωρίαν ὑπέχει, ἀθρόᾳ θεοῦ πληγεὶς
the fitting punishment undergoes with-sudden of-God struck
καθ' ὅλου τοῦ σώματος μάστιγι, ὡς ἀλγηδόσι δειναῖς
over whole the body scourge so-that by-pains terrible
καὶ περιωδυνίαις ἐλαυνόμενον πρηνῆ καταπεσεῖν λιμῷ
and agonies driven headlong to-fall by-hunger
φθειρόμενον, τάς τε σάρκας ὅλας ἀοράτῳ καὶ θεηλάτῳ
wasting the and flesh whole by-invisible and God-sent
πυρὶ τηκόμενον ὡς διαρρεύσαντα τὸ μὲν πᾶν εἶδος
fire melting so-that having-wasted-away the indeed whole form
τῆς παλαιᾶς μορφῆς ἀφανισθῆναι, ξηρῶν δ' αὐτὸ μόνον
of-the old shape to-vanish of-dry and itself only
ὀστέων οἷόν τι μακρῷ χρόνῳ κατεσκελετευμένον εἴδωλον
of-bones like some by-long time reduced-to-a-skeleton image
ὑπολειφθῆναι· ὡς μηδ' ἄλλο τι νομίζειν τοὺς
to-be-left so-that not-even other anything to-think the(-ones)
παρόντας ἢ τάφον αὐτῷ τῆς ψυχῆς γεγονέναι τὸ σῶμα, ἐν
present than (a)-tomb for-him of-the soul to-have-become the body in
ἤδη νεκρῷ καὶ παντελῶς ἀπορρεύσαντι κατορωρυγμένης.
already dead and entirely wasted-away buried
10.15 σφοδρότερον δ' ἔτι μᾶλλον τῆς θέρμης αὐτὸν ἐκ βάθους
more-violently and still more the heat him from (the)-depth
μυελῶν καταφλεγούσης προπηδῶσι μὲν αὐτῷ τὰ ὄμματα,
of-marrows burning leap-out indeed for-him the eyes
καὶ τῆς ἰδίας λήξεως ἀποπεσόντα πηρὸν αὐτὸν ἀφίησιν.
and from-the own place having-fallen blind him leave

ὁ δ᾽ ἐπὶ τούτοις ἔτι ἐμπνέων, ἀνθομολογούμενος τῷ 10.16
he and upon these(-things) still breathing confessing to-the
κυρίῳ, θάνατον ἐπεκαλεῖτο, καὶ τὸ πανύστατον ἐνδίκως
Lord death called-upon and the very-last justly
ταῦτα τῆς κατὰ τοῦ Χριστοῦ παροινίας χάριν
these-things of-the against — Christ drunken-violence for-the-sake-of
ὁμολογήσας παθεῖν τὴν ψυχὴν ἀφίησιν.
having-confessed to-suffer the soul gives-up
Οὕτω δῆτα Μαξιμίνου ἐκποδὼν γενομένου, ὃς μόνος ἔτι 11.1
thus indeed Maximin out-of-the-way having-become who alone still
λείπων τῶν τῆς θεοσεβείας ἐχθρῶν, ἁπάντων χείριστος
remaining of-the of-the piety enemies of-all worst
ἀναπέφηνε, τὰ μὲν τῆς τῶν ἐκκλησιῶν ἀνανεώσεως
had-shown-himself the(-work) indeed of-the of-the churches renewal
ἐκ θεμελίων χάριτι θεοῦ τοῦ παντοκράτορος ἠγείρετο,
from foundations by-grace of-God the almighty was-raised
ὅ τε Χριστοῦ λόγος εἰς δόξαν τοῦ τῶν ὅλων θεοῦ
the and of-Christ word to glory of-the of-the universe God
διαλάμπων, μείζονα τῆς πρόσθεν ἀπελάμβανε παρρησίαν,
shining-forth greater than-the before received freedom-of-speech
τὰ δὲ τῆς δυσσεβείας τῶν τῆς θεοσεβείας ἐχθρῶν
the(-things) and of-the impiety of-the of-the piety enemies
αἰσχύνης ἐσχάτης καὶ ἀτιμίας ἐνεπίμπλατο.
with-shame utmost and dishonor were-filled
πρῶτός τε γὰρ αὐτὸς ἐκεῖνος Μαξιμῖνος, ἁπάντων 11.2
first both for himself that Maximin of-all
πολεμιώτατος ὑπὸ τῶν κρατούντων ἀναγορευθεὶς,
most-hostile by the rulers having-been-proclaimed
δυσσεβέστατος καὶ δυσωνυμώτατος καὶ θεομισέστατος
most-impious and most-ill-named and most-God-hated
τύραννος διὰ προγραμμάτων δημοσίων ἀνεστηλίτευτο,
tyrant through notices public was-pilloried

γραφαί τε ὅσαι εἰς τιμὴν αὐτοῦ καὶ τῶν αὐτοῦ
pictures and as-many-as for honor of-him and of-the his
παίδων κατὰ πᾶσαν ἀνέκειντο πόλιν, αἱ μὲν ἐξ
children in every were-set-up city the-ones indeed from
ὕψους εἰς ἔδαφος ῥιπτούμεναι συνετρίβοντο, αἱ δὲ τὰς
height to ground being-thrown were-smashed the-others and the
προσόψεις ἠχρειοῦντο, σκοτεινῷ χρώματι καταμελανούμεναι,
faces were-made-useless with-dark color being-blackened
ἀνδριάντων τε ὁμοίως ὁπόσοι εἰς τὴν αὐτοῦ τιμὴν
of-statues and likewise as-many-as to the his honor
διανεστήκεσαν, ὡσαύτως ῥιπτούμενοι συνετρίβοντο, γέλως
had-been-set-up likewise being-thrown were-smashed laughter
καὶ παιδιὰ τοῖς ἐνυβρίζειν καὶ ἐμπαροινεῖν ἐθέλουσιν
and sport to-the(-ones) to-insult and to-abuse wishing
ἐκκείμενοι.
lying-exposed

11.3 εἶτα δὲ καὶ τῶν ἄλλων τῆς θεοσεβείας ἐχθρῶν πᾶσαι
then and also of-the other of-the piety enemies all
αἱ τιμαὶ περιῃροῦντο, ἐκτείνοντο δὲ καὶ πάντες οἱ
